Ὡς οὖν ἤρξατο τὸν βίον τοῦ ὁσίου ἀψευδῶς διηγεῖσθαί, φησιν· 'τὸ πρῶτον αὐτοῦ καὶ ἐξαίρετον κατόρθωμα ὅτι τὸ καθόλου οὐκ ὤμοσεν.' ἠτησάμην οὖν εὐθέως χαρτὶν καὶ καλαμάριν, καὶ τὰ λεγόμενα κατ' ἔπος ἐσημειούμην.

Cap. II. Προχειρισθέντος οὖν αὐτοῦ καὶ ἐνθρονιασθέντος ἐν τῇ φιλοχρίστῳ μεγαλοπόλει Ἀλεξανδρείᾳ, ψήφῳ θείᾳ

---

1. πλείω A. ἰδεῖν τότε· ὁ δὲ εἶπεν (εἶπε B) BE. ἐγὼ δὲ εἶπον· πλέον τι εἶχον D. με] μοι F. 4. καταξιοῖς σήμερον D. 5. ἐλθεῖν καὶ ἁγ. F. 6. αὐτόψει BDE. εὕρησα A. ἐθεώρησα BCDE. 7. αὐτοῦ C. λα. ἀπ. με BE. 8. οἶκον αὐτοῦ CD. 9. ἡμᾶς εὐθέως E. εὐθέως τράπεζαν ἀξιῶσαι C. ἔφη C. 10. ὦ fehlt in D. 12. ἀπολυμένης C. 14. μακαρίου B. μακαρίου Ἰωάννου E. ἁγίου D. 15. πρῶτον καὶ ἐξ. αὐτοῦ BE. τὸ fehlt in BE. 16. οὐχ ὤμοσεν BE. Nach ὤμοσεν fügen BE hinzu: οὐδὲ γὰρ ἤκουσεν αὐτοῦ τις ἐξ ἧς ἐχειροτονήθη πρεσβύτερος, ὡς ἐμαρτύρησαν ἅπαντες, ὁμόσαντος (ὁμόσαντος B ὁμώσαντος E). ἀλλὰ πληροφορίας χάριν μάρτυρας, ὡς ἐπὶ κυρίου, ἔτι ζῶντας (ζῶντος B) πάντων, ὧν μοι αὐτὸς διηγήσατο, παρέστησεν· ἤτησα οὖν κτλ. ἤτησα BE. εὐθέως fehlt in CD An. χαρτίον ADF. χάρτην BEC. 17. καλαμάριον C. λαμάριον A. καλαμάριν εὐθέως D. μέλαν F. κατέπωσ AC. καθέποσ B. κατὰ μέροσ F.

18. B CB. Γ D. οὖν BEF. ergo An. fehlt in ACD. αὐτοῦ σὺν θῶ E. 19. ταύτη τῇ BE. καὶ μεγ. F. Nach Ἀλεξανδρείᾳ fahren die Hndss. B und E so fort: εἶπεν δὲ ἡμῖν καὶ τὸν τρόπον τὸν θεάρεστον καὶ ἀξιέπαινον τῆς αὐτοῦ χειροτονίας ὁ προλεχθεὶς θεοσεβέστατος ἀνὴρ, ὃν περιέχει ἡ ὑπὸ τῶν προ-

ἀληθῶς καὶ οὐκ ἐξ ἀνθρώπων οὐδὲ δι' ἀνθρώπων, τοῦτο πρῶτον κατόρθωμα καὶ ἔπαθλον πᾶσιν ἐπεδείξατο· μεταστειλάμενος γὰρ εὐθέως τοὺς οἰκονόμους καὶ τὸν λεγόμενον ἐπὶ τῆς εἰρήνης, φησὶν ἐπὶ πάντων πρὸς αὐτοὺς ἐν τῷ τιμίῳ σεκρέτῳ· 'Οὐ δίκαιόν ἐστιν, ὦ ἀδελφοὶ, πρὸ τοῦ Χριστοῦ φροντίσαι ἡμᾶς ἑτέρου τινός.' παντὸς δὲ τοῦ πλήθους τοῦ συνελθόντος ἐπὶ τῷ λόγῳ κατανυγέντος καὶ συνθεμένου, λέγει πάλιν ὁ μακάριος· 'Οὐκοῦν πορευθέντες κατὰ πᾶσαν τὴν πόλιν ἀναγράψεσθέ μοι ἕως ἑνὸς πάντας τοὺς δεσπότας μου.' τῶν δὲ μὴ νοησάντων, τίνες οὗτοί εἰσιν, ἀλλὰ δυσωπούντων μαθεῖν καὶ ξενιζομένων, τίνες ἄρα τοῦ πατριάρχου εἰσὶ δεσπόται, ἀπεκρίθη πάλιν τὸ ἀγγελικὸν ἐκεῖνο στόμα καὶ εἶπεν· 'Οὓς ὑμεῖς πτωχοὺς καὶ ἐπαίτας καλεῖτε, τούτους ἐγὼ δεσπότας καὶ συγκροτητὰς κηρύττω. αὐτοὶ γὰρ ἡμᾶς ὄντως καὶ μόνοι συγκροτῆσαι καὶ τὴν τῶν οὐρανῶν βασιλείαν χαρίσασθαι δύνανται.' καὶ ὡς τοῦτο διὰ πολλοῦ τοῦ τάχους εἶδεν γενόμενον ὁ τοῦ Χριστοῦ μιμητὴς, ἐπέτρεψεν τούτοις ἡμέριον διορίζεσθαι ἐκ τοῦ οἰκείου αὐτοῦ διαδότου

μνημονευθέντων προστατῶν τῆς ὀρθοδοξίας τοῦ βίου τοῦ ἐν ἁγίοις σύνταξις τῇ μνήμῃ (τῇ μνήμῃ σύντ. E) καὶ ὑψηλοτάτῃ διήγησις· διόπερ περιττὸν ᾠήθημεν ταύτῃ ἡμῶν τῇ χωρικωτάτῃ συγγραφῇ τὸν τοιοῦτον τρόπον ἐντάξαι, μήπως δὲ καὶ τῷ πλήθει τῶν λόγων οἱ ῥᾳθυμότεροι (ῥάθυμοι E) τῶν ἐντυγχανόντων ἀτονήσαντες τῆς ὠφελείας τῶν μετὰ ταῦτα στερηθῶσιν· κόρος γὰρ λόγου, ὡς φησιν ὁ θεολόγος Γρηγόριος, πολέμιος ἀκοαῖς, ὡς ὑπερβάλλουσα τροφὴ σώματι. προχειρισθεὶς τοίνυν, ὡς εἴρηται, οὗτος ὁ δικαιότατος τοῦ Χριστοῦ μιμητὴς ψήφῳ κτλ. ψήφῳ ὀυνίω BE. 1. καὶ fehlt in CD. οὐδὲ δι' ἀ̄ν̄ω̄ν BE. οὔτε δι' ἀ̄ν̄ω̄ν CD. fehlt in A. 2. ἐνεδείξατο CBE. 3. τοὺσ οἰκ. τῆσ ἐκκλησίασ E. 5. σεκραίτω CB. Χριστοῦ] κυρίου C. 6. Das zweite τοῦ fehlt in C. τῶν συνελθόντων BEF — κατανυγέντων BE — συνθεμένων BE. 8. ὁ μακάριος] ὁ ἀψευδῆσ ἀρχιερεύσ BE. 11. τίνεσ] τινόσ A. 12. δεσπόται εἰσὶ CD. τὸ ὅσιον καὶ ἀγγελικὸν BE. τὸ ἀγγ. ἐκεῖνο καὶ ἅγιον D. 13. καὶ ἐπαίτας] καὶ πένητασ DF. fehlt in C. 14. κηρύσσω D. 15. καὶ μόνοι fehlt in B und bei An. συγκροτοῦσι CD. 17. γινόμενον C. γενόμεν (sic) E. μαθητὴσ BE. 18. τούτουσ BE. ἡμερούσιον C. διαρίζεσθαι CBEF. τ. οἰ. διαδ. αὐτοῦ C. τ. οἰκίου διαδόχου (unter Weglassung von αὐτοῦ) A.

τὴν ἐπαρκοῦσαν χρείαν αὐτοῖς. πλείους δὲ ἦσαν τῶν ἑπτὰ ἥμισυ χιλιάδων. τότε ὥσπερ ποιμὴν ἀληθινὸς καὶ οὐ μισθωτὸς μετὰ τοῦ ἱεροῦ αὐτοῦ ποιμνίου καὶ τῶν συνελθόντων ὁσίων ἀνδρῶν ἐπισκόπων ἐπὶ τὴν ἁγίαν ἐκκλησίαν πορευθείς, ἐνθρονιάζεται ψήφῳ θεία.

Cap. III. Δίκαιον δὲ μὴ παριδεῖν τῶν αὐτοῦ κατορθωμάτων καὶ τοῦτο τὸ ἀγαθόν. τῇ γὰρ ἐπαύριον πάλιν ἀποστείλας κατὰ πᾶσαν τὴν πόλιν τοὺς αὐτοὺς θεοφιλεστάτους οἰκονόμους καὶ καγκελλαρίους καὶ λοιποὺς τοὺς τὴν διοίκησιν τῆς πόλεως πεπιστευμένους, οὐκ εἴασεν μέτρον οἷον δήποτε οὔτε στάθμιον μικρὸν καὶ μέγα ἐν ὅλῃ τῇ πόλει. 282r ἀλλὰ πάντα ἐν ἑνὶ καμπανῷ καὶ ζυγῷ καὶ μοδίῳ καὶ ἀρτάβῃ πωλεῖν καὶ ἀγοράζειν διεμαρτύρατο, γράψας ἐνυπόγραφον αὐτοῦ πρόθεμα κατὰ πᾶσαν γειτονίαν περιέχοντα τὸν τύπον τοῦτον· „Ἰωάννης ταπεινὸς καὶ ἐλάχιστος δοῦλος τῶν δούλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πᾶσιν τοῖς ὑπὸ τὴν ἡμετέραν πτωχείαν ὑπὸ τοῦ αὐτοῦ κυρίου καὶ θεοῦ ἡμῶν ποιμαίνεσθαι λαχοῦσιν τάδε· τοῦ θεσπεσίου καὶ μακαρίου Παύλου διὰ τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ κελεύοντος πᾶσιν καὶ νομοθετοῦντος· ‘Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς λόγον ἀποδώσοντες’, πέπεισται ἡ ἐμὴ οὐθενότης,

---

1. *πλείουσ — χιλιάδων* fehlt in A. 3. *κατὰ τῶν* A. 4. Nach *ἀνδρῶν* schieben die Codices B und E ein *καὶ* ein. *ἐκκλη[σίαν]*. 5. *ἐνθρονιάζ[εται]* und nachher 21. *ἀγρ[υπτο]ῦσι*. 22. *[ἡμ]ῶν*. Die eingeklammerten Buchstaben fehlen im Codex E, weil das Pergament ein Loch hat.

6. *Γ* B. Die Capitelangabe fehlt in CD. 7. *πάλιν* fehlt in D. *ἀποστείλας — πόλιν* fehlt in C. 8. *τουσ — καὶ* fehlt in D. *αὐτουσ* CD An. *αὐτοῦ* ABE. 9. *ἐπισκόπουσ καὶ καγκ.* BE. *καγκελλαρίουσ* D. *καγκελαρίουσ* BE. *καγγελαρίουσ* A. *κελλαρίουσ* CF. *διήκοισιν* A. 10. *τῆς πόλεως* fehlt in BE. 11. *οὔτε μέγα* D. *ἐν ὅλῃ τῇ πόλει*] *ἐμπολιτεύεσθαι* F. 12. *καμπάνω* C. 14. *πρόθημα* CE. *περιέχοντα* ABCE. *περιέχον* D. *περιέχων* F. 15. *καὶ δοῦλοσ* F. *τῶν δούλων τοῦ κῦ ἡμῶν ἰῦ πᾶσι τοῖσ ὑπὸ τοῦ αὐτοῦ κῦ καὶ θῦ ἡμῶν κτλ.* C. 20. *νομοθετοῦντοσ* BE. legem ponente An. *νουθετοῦντοσ* ACDF. Hebr. XIII 17. *πείθεσθαι* die Handss. 21. *ὑπήκηται* A. *ὑπήκετε* E. *ὑπήκειτε* D. 22. *πέπεισθε* C. *πέπισθαι* A.

ὅτι τῷ θείῳ λόγῳ πειθόμενοι δέχεσθε τὰς παρ' ἡμῶν αἰτήσεις, ὡς ἐκ θεοῦ καὶ οὐκ ἐξ ἀνθρώπου. ὅθεν τοῦτο γινώσκων νουθετῶ τὴν ὑμετέραν ἀγάπην, ἐπειδὴ, ὥς φησιν ἡ θεία γραφὴ, στάθμιον μικρὸν καὶ μέγα ἐμίσησεν ὁ θεὸς, μηδαμοῦ ἔν τινι ὑμῶν φανῆναι τὴν τοιαύτην παρανομίαν. εἰ δέ τις φανῇ μετὰ τὴν τοῦ παρόντος ἡμῶν ἐνυπογράφου προθέματος διατύπωσιν τῷ τοιούτῳ ἐγκλήματι περιπίπτων, ἅπαντα αὐτοῦ τὰ ὑπάρχοντα εἰς τοὺς δεομένους ἀπροαιρέτως καὶ ἀμίσθως προθήσει." ὡς ἀξιομνημονεύτου οὖν καὶ τούτου αὐτοῦ δημοσίου προστάγματος ἐνταῦθα ἐνθεῖναι αὐτὸ ἐσπουδάσαμεν.

Cap. IV. Προσανηνέχθη ποτὲ τῷ θεοσόφῳ τούτῳ ὑπό τινων, ὡς ὅτι διὰ ξενίων ἐξαγοραζόμενοι οἱ τῆς αὐτοῦ ἐκκλησίας διοικηταὶ προσωπολῆπται γίνονται περὶ τὰς διοικήσεις τῶν κεφαλαίων. οὓς οὐδὲν μελλήσας μετακαλεσάμενος καὶ μηδὲν τὸ παράπαν ἐγκαλέσας, τοὺς πρώην αὐτοῖς διδομένους μισθοὺς ἐπηύξησεν, θήσας λόγον καὶ νόμον μὴ δέξασθαι αὐτοὺς παρά τινος δῶρα τὸ σύνολον, διότι, φησὶν, 'πῦρ καταφάγεται οἴκους δωροδεκτῶν.' ἔκτοτε οὖν διὰ τῆς χάριτος τοῦ θεοῦ εὐθήνησαν οἱ οἶκοι αὐτῶν, ὥστε τινὰς

---

1. ὅτι] ὡσ D. δέχεσθαι A. 2. ἐξ ἀνου A. ex homine An. ἐξ ἀνθρώπων BCDE. 4. θεία fehlt in BE. Prov. XI, 1. 5. vgl. Deuter. XXV 13 ff. 5. Nach ἔν τινι ὑμῶν (fol. 160v) ist in Codex F ein Blatt ausgefallen. fol. 161r beginnt Cap. VI S. 12, 14 mit den Worten: αὐτῶ προῖα. Nach φανῆναι fügt D παρακαλῶ hinzu. 7. προθήματοσ ABCE. διατύπωσιν fehlt in ABCE. τῷ fehlt in A. 10. τοῦδε αὐτοῦ B. ἀξιομνημονεύτου τοῦ αὐτοῦ δημοσίου προστ. ἐνταῦθα αὐτὸ ἐνθῆναι. C. ἀξιομνημονεύτου οὖν καὶ τούτου τοῦ πράγματοσ τοῦ δημοσίου ἐνταῦθα D. ἀξ. οὖν καὶ τοῦδε αὐτοῦ τοῦ δημοσίου πράγματοσ καὶ προστάγματοσ ἐνταῦθα αὐτὸ ἐνθῆναι ἐσπεύσαμεν. E.

12. ⊿ CB. τούτω πατριάρχη BE. 15. οὓς] ὃσ (sic) E. μηδὲν AE. μελήσασ CE. μελίσασ A. μεταστειλάμενοσ BE. μετακαλεσάμενος die andern. 16. τοῖσ πρώην ACD. αὐτοῖσ fehlt in E. 17. θελσ BD. καὶ μόνον C. fehlt bei An. 18. αὐτοῖσ A. Iob. XV 34. 19. καταφλέγεται B. Nach δωροδεκτῶν fügen B und E hinzu: καὶ ὡσ ἐπὶ κῦ οὕτωσ ἔκτοτε οἱ οἶκοι ἡμῶν εὐθήνησαν καὶ ἐπληθύνθησαν, ὥστε τινὰσ τοὺσ βουληθέντασ αἰτήσασθαι αὐτὸν τὴν προστεθεῖσαν (προτ. E) αὐτοῖσ τῶν μισθῶν ποσότητα παρεπάραι.

ἐξ αὐτῶν τὴν προστεθεῖσαν αὐτοῖς τῶν μισθῶν ποσότητα παρεᾶσαι.

Cap. V. Μαθὼν δέ ποτε πάλιν ὁ τρισόλβιος, ὥς τινες 282v
ἀδικούμενοι ὑπὸ τῶν ἀντιδίκων αὐτῶν καὶ βουλόμενοι
προσέρχεσθαι τῷ ἀοιδίμῳ, τῷ φόβῳ τῶν καγκελλαρίων καὶ 5
τῶν ἐκκλησιεκδίκων καὶ τῶν λοιπῶν τῶν παρισταμένων
ἀνακόπτωνται, ἐπινοεῖταί τι τοιοῦτον θεάρεστον πρᾶγμα.
καὶ κατὰ τετράδα καὶ παρασκευὴν δημοσίως τίθων σελλὶν
καὶ σκάμνα δύο ἐκαθέζετο ἔμπροσθεν τῆς ἐκκλησίας συν-
τυγχάνων τισὶν ἐναρέτοις, ἢ τὰ ἅγια εὐαγγέλια κρατῶν 10
μετὰ χεῖρας, μηδένα τοῦ τοσούτου ὀψικίου πλησιάσαι συγ-
χωρῶν πλὴν ἑνὸς ἐκκλησιεκδίκου, ἄδειαν δοῦναι καὶ παρ-
ρησίαν σπεύδων τοῖς βουλομένοις προσέρχεσθαι οἷς καὶ παρ'
αὐτὰ τὸ ἱκανὸν διὰ τῶν ἐκκλησιεκδίκων γενέσθαι ἐποίει.
καὶ παρήγγελλεν μηδενὸς γεύσασθαι αὐτοὺς, ἄχρις ἂν διοι- 15
κήσωσι τὸ κεφάλαιον. καὶ πρὸς ὑπήκοον πάντων ἔλεγεν·
Εἰ ἡμεῖς ἄνθρωποι ὄντες ἄδειαν διὰ παντὸς περὶ τῶν ἡμε-
τέρων αἰτήσεων ἔχομεν τοῦ εἰσέρχεσθαι ἐν τῷ οἴκῳ τοῦ
θεοῦ καὶ τὰ αἰτήματα ἡμῶν γνωρίζειν αὐτῷ τῷ ἀπροσίτῳ
καὶ πάσης κτίσεως ὑπερκειμένῳ καὶ σπεύδομεν τοῦ γενέσθαι 20
ἡμῖν τὴν ἱκεσίαν καὶ δυσωποῦμεν αὐτὸν μὴ ἀναμεῖναι·
ἀλλὰ τὸ τοῦ προφήτου εὐθέως βοῶμεν· ταχὺ προκαταλαβέ-

---

3. *E* CB. δὲ] *πάλιν* D. *ποτὲ* fehlt in A. 5. Nach *καγκελλαρίων* fügen B und E *καὶ σεκρηταρίων* (*σικρηταρίων* E) *καὶ ἐκκλησιεκδίκων* (*ἐκκλησεκδίκων* E) hinzu. 6. *λοιπῶν τῶν παριστ.* B. *καὶ λοιπῶν τῶν παρ.* E. 7. *ἀνεκόπτοντο* C. *ἀνακόπτονται* BE. *ἐπινοεῖτε* (so auch D) *τοιοῦτον θεάρεστόν τι* A. *ἐπινοεῖ τι τ.* E. 8. *καὶ* fehlt in D. *τιθῶν* A. *σελλὶν* BC. *σελλὴν* ADE. 9. *καὶ ἐκαθ.* B. *ἐκαθέζετο συντυγχάνων ἔμ. τ. ἑ.* BE. *συντοιχάνων* CD. 10. *ἢ τὰ* D. aut An. *εἶτα* A (korr. aus *ἢ τὰ*) *εἶτα τὰ* C. *ἔστιν δὲ ὅτε καὶ τὰ* BE. 11. *μετὰ χ. κρ.* CD. *μετὰ χ. κρ. ἑκάθητο* BE. *μηδὲν* C. *τοῦ* fehlt in A. 12. *κλισηεκδίκου* A. *ἐκκλησεκδίκου* E (E gebraucht stets diese Form). 15. *παρήγγειλεν* A. *παρήγγειλε* E. *αὐτοὺς* fehlt in BE. *ἄχρις οὗ* E. *διοικήσουσι* C. 18. *ἔχωμεν* A. 20. *κτίσεως*] *δυνάμεως* C. *σπεύδωμεν* A. 22. *εὐθέως* fehlt in BE. Die untere Hälfte von Blatt 391 in Codex B ist weggeschnitten; es fehlt daher das Textstück von dem Worte *βοῶ*[*μεν*] an bis zu *ἀνεχώρει* S. 11, 22—12, 9. Psalm. LXXVIII 8.

τωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, κύριε,' πῶς ἄρα ὀφείλομεν ἡμεῖς τὰ τῶν συνδούλων ἡμῶν αἰτήματα μετὰ πάσης σπουδῆς ἐξανύειν, μνημονεύοντες τοῦ κυρίου εἰπόντος· 'ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.' καὶ τοῦ προφήτου πάλιν· 'ὃν τρόπον ἐποίησας, ἔστω σοι.'

Cap. VI. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν τὸν ὅμοιον τρόπον οὗτος ὁ θαυμάσιος προελθὼν καὶ ἐπὶ τοῦ συνήθους τόπου προκαθίσας ἕως ὥρας πέμπτης, καὶ μηδενὸς προσελθόντος, ἀνεχώρει κατηφὴς καὶ σύνδακρυς. μηδενὸς δὲ τολμῶντος ἐρωτᾶν αὐτὸν τὴν αἰτίαν τῆς ἀθυμίας, ὁ ἐν ἁγίοις Σωφρόνιος ἔφη πρὸς αὐτὸν κατ' ἰδίαν — ἐκεῖ γὰρ τότε ἐτύγ-
288r χανεν — 'Τίς ἡ αἰτία, θεοφρόνητε, τῆς κατεχούσης | τὴν ἁγίαν σου ψυχὴν σκυθρωπότητος, τῆς πάντας ἡμᾶς ἐξαίφνης συνταραξάσης'; ὁ δὲ ἔφη αὐτῷ πραείᾳ τῇ φωνῇ· 'Σήμερον ὁ ταπεινὸς Ἰωάννης τὸν οἰονοῦν μισθὸν παρά τινος οὐκ ἔσχεν, οὐδὲ τῷ Χριστῷ ὑπὲρ τῶν ἀμυθήτων αὐτοῦ ἁμαρτιῶν τίποτε προσήνεγκεν, ὥσπερ οὐδὲ πάντοτε.' ὁ δὲ θεόθεν ἐμπνευσθείς, ἀπεκρίνατο τῷ ἱεράρχῃ· εὐθέως γὰρ συνῆκεν τὴν αἰτίαν δι' ἣν ἐλυπεῖτο ὁ πατριάρχης· 'Σήμερον μὲν οὖν χαρῆναι καὶ εὐφρανθῆναι δεῖ, μακαριώτατε· ἀληθῶς γὰρ μακάριος εἶ οὕτως εἰρηνεύσας τὴν ὑπὸ τοῦ Χριστοῦ πιστευθεῖσάν σοι ποίμνην, ὥστε μηδένα ἔχειν πρὸς τὸν πλησίον

1. Nach κύριε fügt A ὅτι ἐπτώχευσα μὲν σφόδρα hinzu. ἄρα A. οὐκάρα E. 2. καὶ ἡμεῖς E. τὰς — αἰτήσεις E. 3. Matth. VII 2. 4. μετρηθήσεται E. 5. πάλιν fehlt in E.

6. Die Capitelzahl fehlt in C. ὅθεν ἐν μιᾷ E. τὴν ὁμότροπον A. 7. προσελθὼν E. 9. ἀνεχώρησε E. κατηφῆς E. κατηφὶς AB. κατηφεὶς D. κατειφῆς C; mit diesem Worte setzt Codex B wieder ein. δὲ fehlt in BCD. 12. καὶ τὴν D. 13. ψυχήν σου C. τῆς fehlt in AC. 14. Mit den Worten αὐτῷ πραΐᾳ beginnt F fol. 161r wieder. 15. τὸν οἰονοῦν fehlt in BE. ἀπό τινος CF. 16. Von dem Worte τῶν bis zu den Worten ἀλλ' ὡς S. 13, 1 hat B wieder eine Lücke. 17. προσήνεγκεν τῷ χῷ D. ὁ δὲ θεόθεν ἐμπν. ACD. ὁ δὲ τίμιος σωφρόνιος ὥσπερ θ. E. S. Sophronius divinitus inspiratus An. 18. ἱεράρχῃ] ἀρχιερεῖ F. 19. δι' ἣν] δι' ἥς D. Nach ὁ πρι ἀρχης fügt D καὶ φησὶν hinzu. μὲν fehlt in CDEF. οὖν fehlt in D. 20. χαρῆναι δεῖ κ. ε. E. δὴ A. μακάριος ADE. μακαριώτατος C. beatissimus An. 21. τοῦ fehlt in AE. 22. σχεῖν C. πρὸς — αὐτοῦ hat D erst hinter ἀμφιβολίαν.

αὐτοῦ μάχην ἢ ἀμφιβολίαν, ἀλλ' ὡς ἀγγέλους εἶναι ἀμάχους καὶ ἀδικασίμους τοὺς ἀνθρώπους.' ὁ δὲ ὄντως πρᾷος ποιμὴν πληροφορηθεὶς τὸ εἰρημένον ἀληθὲς εἶναι, τὰ ὄμματα εἰς τὸν οὐρανὸν ἀνατείνας ἔλεγεν· Εὐχαριστῶ σοι ὁ θεὸς ὁ καὶ τὴν ἐμὴν ἀναξιότητα καταξιώσας ἱερέα σου κληθῆναι καὶ ποιμαίνειν λογικὴν ποίμνην τὸν ἐλάχιστον καὶ ἁμαρτωλόν.' παρ' αὐτὰ οὖν τὴν μὲν ἀθυμίαν ἅπασαν ἀπέθετο, χαρὰ δὲ αὐτῷ ἐν ταπεινοφροσύνῃ πολλὴ προσεγένετο. τοῦτον δὲ, ὥς φασί τινες, ἐν τούτῳ ἐμιμήσατο καὶ Κωνσταντῖνος ὁ μετὰ Ἡράκλειον βασιλεύσας, οὗ καὶ υἱὸς ἐτύγχανεν.

Cap. VII. Ἐπὶ τούτου τοῦ ἐν ἁγίοις πάπα οἱ Πέρσαι ἀνελθόντες ᾐχμαλώτευσαν καὶ ἐπραίδευσαν τὴν Συρίαν. τῷ οὖν ὀνόματι τοῦ τρισμακαρίστου ἅπαντες σχεδὸν οἱ ἐκφυγόντες τὰς χεῖρας τῶν ἀθέων Περσῶν, ὥσπερ λιμένι ἀκυμάντῳ προσέτρεχον, τῆς παρ' αὐτοῦ καὶ αὐτοὶ ἐπικουρίας καὶ ἀντιλήψεως ἀπολαύειν δεόμενοι· οὓς ὁ μακάριος οὗτος ἐφιλοξένει καὶ παρεμυθεῖτο οὐχ' ὡς αἰχμαλώτους, ἀλλ' ὡς τῇ φύσει ἀληθῶς ἀδελφούς. εὐθέως οὖν τοὺς μὲν πληγάτους καὶ ἀσθενεῖς ἐν τοῖς ξενῶσι καὶ νοσοκομείοις, οἷς αὐτὸς ἐποίησεν, ἀνακλίνεσθαι παρήγγειλεν καὶ ἐπιμελεῖσθαι τούτους καὶ ἰατρεύεσθαι δωρεὰν διαταξάμενος, καὶ τότε

---

1. μάχην] μίνην (= μῆνιν) F. Mit dem Worte ἀγγέλους beginnt wieder Cod. B (fol. 392v). 3. ἀληθῶς B. 4. εἰς τὸν οὐνον τὰ ὄμματα BE. ἀνατείνας] ἀτενίσας F. ὁ θεὸς] κε B E. 6. ποιμ. λογικ. BE. 7. πᾶσαν CD. 8. ἐν πολλῇ ταπ. D. πολλὴ fehlt in B. 9. Von φασὶ bis προσέτρε/ S. 13, 15 ist wieder eine Lücke im Codex B. ἐμιμήσατο καὶ ὁ τῆς θείας μνήμης τῇ βασιλεία διαπρέψας κωνσταντῖνος ὁ ὄντως κωνσταντίνου τοῦ μεγάλου ἀψευδὴς μιμητής· λέγω δὴ ὁ μετὰ ἡράκλειον τὸν βασιλέα οὗ κτλ. E. ἐμιμήσαντο, ἐν οἷς D. 10. βασιλεὺς C. ἡρακλῆν F. οὗτινος ἐτύχανεν καὶ υς C.

11. Ζ. C. 12. ἐλθόντες D. τὴν fehlt in ADE. 13. ἐκφεύγοντες C. 14. ἐν λιμ. E. 15. Mit [προσέτρε]χον setzt B wieder ein. καὶ αὐτοὶ fehlt in CD. 16. ὁ θεῖος οὗτος ἀνὴρ BE. 17. παρεμοιθεῖτο C. 18. πληγέντας C. πεπληγμένους F. 19. οἷς — ἐποίησεν fehlt bei An. 20. ἀνακλίνασθαι E. 21. δῶρον AE. διαταξάμενος BE. praecipiens An. fehlt in ACD. τότε ἀναχ. fehlt in D.

ἀναχωρεῖν, ὅτε ἕκαστος αὐτῶν ἰδιοπροαιρέτως θελήσει· τοὺς δὲ ὑγιεῖς καὶ δεομένους εἰς τὴν διάδοσιν ἐρχομένους, τοῖς
283v μὲν ἀνδράσιν ἀπὸ κερατίου ἑνὸς ἐδίδου, | ταῖς δε γυναιξὶν καὶ κορασίοις ὡς ἀσθενεστέροις μέλεσιν ἀπὸ δύο. ἐρχομέ-
5 νων οὖν τινων φορουσῶν κοσμίδια καὶ βραχιόλια καὶ ζητουσῶν ἐλεημοσύνην, προσανήνεγκαν τῷ πάπᾳ οἱ τὴν διάδοσιν πεπιστευμένοι περὶ αὐτῶν, πρὸς οὓς ὁ μακάριος βλοσυρῷ τῷ ὄμματι καὶ αὐστηρᾷ τῇ φωνῇ χρησάμενος, καίτοι πρᾷος ὢν καὶ τῷ ὄμματι ἱλαρὸς, εἶπεν· Εἰ μὲν τοῦ
10 ταπεινοῦ Ἰωάννου, μᾶλλον δὲ τοῦ Χριστοῦ διαδόται βουλεσθε εἶναι, τῷ θείῳ προστάγματι ἀπεριέργως πείθεσθε τῷ φάσκοντι· Παντὶ τῷ αἰτοῦντί σε δίδου.' εἰ δὲ τοὺς ἐρχομένους ἐλεηθῆναι πολυπραγμονεῖτε, ὁ θεὸς κακοπραγμόνων ὑπούργων οὐ χρῄζει, οὐδὲ ὁ ταπεινὸς Ἰωάννης. εἰ μὲν γὰρ
15 τὰ διδόμενα ἐμὰ ἐτύγχανον καὶ σὺν ἐμοὶ ἐγεννήθησαν, τάχα καλῶς εἰς τὰ ἐμὰ ἐσκνιφευόμην. εἰ δὲ τοῦ θεοῦ τὰ διδόμενα τυγχάνουσιν, πάντως ἐν τοῖς αὐτοῦ τὸ ἑαυτοῦ πρόσταγμα φυλάττεσθαι θέλει. εἰ δὲ καὶ ἐξ ἀπιστίας ἢ ὀλιγοπιστίας ἐκεῖνο φοβεῖσθε, μήπως τὸ πλῆθος τῶν διαδιδομένων
20 ὑπερνικήσῃ τὴν εἴσοδον τῶν χρημάτων, ἐγὼ τῇ ὑμετέρᾳ ὀλιγοπιστίᾳ κοινωνεῖν οὐκ ἀνέχομαι. καὶ γὰρ εἰ εὐδοκίᾳ

---

1. καθεὶσ ἕκαστοσ E. ἕκαστοσ καθ' εἷσ B; darauf hat B eine neue Lücke, die sich bis zu den Worten τοῦ αὐτοῦ (s. Note zu S. 14, 7) erstreckt. θελήσει ἀναχωρεῖν D. 2. ὑγιῆσ C. τουσ μὲν ἄνδρασ C. 3. ἀνα κερατίου E. ἐδειδουν F. 4. ἀνα δύο E. 5. οὖν] δὲ C. φορούντων E. 6. καὶ αἰτούντων προσανήνεγκαν αὐτῶ E. πάππα C. 7. Nach den Worten περὶ αὐτῶν fügt Codex E hinzu: ὧν εἷσ ἦν ὁ νῦν ἁγιώτατοσ ἐπίσκοποσ τῆσ Ἀμανθουντιαίων πόλεωσ, ὁ καὶ ἀπὸ κελεύσεωσ τοῦ αὐτοῦ ἐν ἁγίοισ πάπα ἀξιωθεὶσ τῆσ ἱερωσύνησ. Die Worte τοῦ αὐτοῦ — ἱερωσύνησ stehen auch im Codex B, welcher damit wieder einsetzt. 10. ἰῶ fehlt in CD. 11. θείῳ κελεύσματι BE. πείθεσθαι E. ποιεῖσθε A. 12. Luk. VI 30. σε] σοι F. εἰσερχομένουσ D. προσερχ. F. 13. ἐλεηθ. fehlt in CDF An. πολλυπραγμονεῖται AE. πολυπράγμονασ ὑπουργούσ C. curiosorum An. 14. ὑπούργων καὶ διαδότων (sic) BE. 16. ἐσκνιφ. εἰσ τὰ ἐμὰ CD. καλῶσ* ἐσκνιφευόμην am Rande: *ἂν F. 17. Nach αὐτοῦ fügen BE ὁ θῦ hinzu. 18. καὶ fehlt in E und bei An. 19. διδομένων CBE. 21. κοινωνεῖν οὐ βούλομαι BE. εἰ DE. si An. ἡ AC fehlt in B.

τοῦ θεοῦ ἔστιν τὸ εἶναί με τὸν ἀνάξιον χειροχρήστην τῶν αὐτοῦ δωρεῶν, ὅλος ὁ κόσμος ἐὰν συναχθῇ εἰς Ἀλεξάνδρειαν ἐλεημοσύνην δεόμενος, οὐ στενοῦσιν τοὺς ἀμυθήτους θησαυροὺς τοῦ κυρίου οὐδὲ τὴν ἁγίαν ἐκκλησίαν.'

ὡς δὲ τούτους ἀπέλυσεν ἅπασαν τὴν περιέχουσαν αὐτοὺς ῥᾳθυμίαν καὶ ὀλιγοπιστίαν ἀνακόψας, ἔλεγεν τοῖς συγκαθημένοις αὐτῷ καὶ ξενιζομένοις ἐπὶ τῇ θεοδωρήτῳ αὐτοῦ συμπαθείᾳ·

Cap. VIII. Ὡς ἤμην ἐν Κύπρῳ νεώτερος ἔτι ὑπάρχων ὡς ἐτῶν δεκαπέντε, θεωρῶ ἐν μιᾷ καθ' ὕπνους κόρην τινὰ, ἧς τὸ εἶδος ὑπῆρχεν ὑπὲρ τὸν ἥλιον, κεκοσμημένην ὑπὲρ πᾶσαν ἀνθρωπίνην ἐπίνοιαν, ἐλθοῦσαν καὶ σταθεῖσαν ἔμπροσθεν τῆς κλίνης μου καὶ νύξασάν με εἰς τὴν πλευράν μου. ἔξυπνος δὲ γενόμενος θεωρῶ αὐτὴν ἐν ἀληθείᾳ ἑστῶσαν καὶ ἐνόησα μὴ εἶναι αὐτὴν γυναῖκα. τῷ τύπῳ οὖν τοῦ σταυροῦ κατασφραγισάμενος εἶπον αὐτῇ· Τίς εἶ σὺ καὶ πῶς ἐτόλμησας εἰσελθεῖν ἐπάνω μου ὡς κοιμῶμαι;' εἶχεν | δὲ καὶ στέφανον ἐξ ἐλαιοκλάδων ἐπὶ τὴν κεφαλὴν αὐτῆς. τότε ἐκείνη ἱλαρῷ τῷ προσώπῳ καὶ μειδιῶσα τοῖς χείλεσιν λέγει μοι· Ἐγὼ εἰμὶ ἡ πρώτη τῶν θυγατέρων τοῦ βασιλέως.' ὡς δὲ ταῦτα ἤκουσα, εὐθέως προσεκύνησα αὐτήν. τότε λέγει μοι· Ἐὰν κτήσῃ με φίλην, ἐγὼ εἰσφέρω σε ἐνώπιον τοῦ βασιλέως. καὶ γὰρ οὐδεὶς ἔχει παρρησίαν πρὸς αὐτὸν,

---

1. μὲ ἄξιον D fehlt in C. 3. οὐ στενοχωρήσει BE. τοὺσ ἀμυθ. θ. τοῦ θῦ οὐ στενοῦσιν C. 4. τὴν τοῦ κῦ εκκλ. E. ἁγίαν αὐτοῦ D. 5. ἀπέλυσεν fehlt in A. αὐτοῖσ CDE. 6. ὀλιγοψυχίαν BE. ἐκκόψασ E.

9. Z. B. Im Codex C wird kein Capitelanfang angedeutet. εἰμην A. ὡσ ὅτι ὡσ ἥμιν D. 10. κατὰ τοὺσ ὕπνουσ CDE μου CD. 11. ἥλιον καὶ D. κεκοσμημένη A. 12. ἀνθρωπίνην fehlt in E. ἔννοιαν C. φύσιν D. εἶτα ἐλθ. D. 14. μου fehlt in C. 15. ἐνομισάμην A. ἐνενόησα αὐτὴν μὴ εἶναι γυν. D. et aestimavi eam esse mulierem An. 17. εἰσελθεῖν] ἐλθεῖν C. πῶσ εἰσῆλθεσ D. εἶχε δὲ στ. C. εἶχεν δὲ ὡσ ἐπὶ κῦ καὶ BE. 18. ἐπὶ τὴν κεφαλὴν AD. ἐπὶ τῆς κεφαλῆς CBE. 21. αὐτῇ B. 22. σε εἰσφ. C. 23. πρὸσ αὐτὸν fehlt in E.

ὡς ἐγώ. ἐπὶ τῆς γῆς γὰρ ἐποίησα αὐτὸν ἐγὼ ἐνανθρωπῆσαι καὶ σῶσαι τοὺς ἀνθρώπους.' καὶ ταῦτα εἰποῦσα ἀφανὴς ἐγενετο. ἐγὼ οὖν εἰς ἑαυτὸν ἐλθὼν συνῆκα τὸ ὅραμα καὶ εἶπον· Πίστευσον. ἡ συμπάθεια ἤγουν ἡ ἐλεημοσύνη ἐστὶν καὶ διὰ τοῦτο εἶχεν εἰς τὴν κεφαλὴν ἐξ ἐλαίας φύλλων τὸν στέφανον. καὶ γὰρ ὡς ἀληθῶς ἡ πρὸς ἀνθρώπους συμπάθεια καὶ εὐσπλαγχνία τὸν κύριον σαρκοφορῆσαι ἐποίησεν.' εὐθέως οὖν ἐφόρεσα καὶ μηδένα τοῦ οἴκου ἐξυπνίσας, εἰς τὴν ἐκκλησίαν ἀπῆλθον. ἦν γὰρ λοιπὸν αὖγος. καὶ ἐν τῷ ἀπέρχεσθαί με συναντήσας ἀδελφῷ ῥιγῶντι, ἀποδυσάμενος τὸ αἰγιόμαλλόν μου δέδωκα αὐτῷ, εἰπὼν εἰς ἑαυτόν· Ἰδοὺ ἐν τούτῳ γνώσομαι, εἰ ἄρα ἀληθής ἐστιν ἡ ὀπτασία, ἣν εἶδον, ἢ δαιμονιώδης.' καὶ τῆς ἀληθείας μαρτυρούσης, οὕπω τὴν ἐκκλησίαν κατέλαβον, καὶ ἐξαίφνης συναντήσας μοί τις λευκοφόρος, δίδωσίν μοι ἀποκόμβιν ἑκατὸν νομισμάτων λέγων· Λαβὲ ταῦτα, ἄδελφε, καὶ διοίκησον, ὡς θέλεις.' ἐγὼ δὲ ἀπὸ χαρᾶς ἐξάπινα ταῦτα δεξάμενος ἐστράφην, θέλων ἀποδοῦναι αὐτῷ τὸ ἀποκόμβιν, ὡς μὴ δεόμενος, καὶ οὐκέτι εἶδόν τινα. τότε εἶπον· Ἀληθῶς οὐκ ἦν φαντασία.' ἐξ ἐκείνης οὖν πολλάκις ἐδίδουν συναδέλφῳ τίποτε καὶ ἔλεγον· Ἴδω, εἰ πέμπει ὁ θεὸς, ὡς εἶπεν, ἑκατονταπλασίονα.' καὶ ὡς

---

1. ἐγὼ γὰρ ἐποίησα αὐτ. ἐ. τ. γ. ἐνανθ. BE. ἐ. τ. γ. γὰρ ἐγὼ ἐπ. αὐτὸν ἐνανθρ. CD. 3. οὖν] δὲ D. 4. ἤγουν fehlt in E. 5. κεφαλὴν αὐτῆς BE. ἐξ fehlt in A. 6. ὡς ἀληθῶς fehlt in C. 7. σαρκαφορῆσαι BD. σαρκαφορέσαι EF. 8. εὐθέως οὖν ἐξανέστην (— η E) τῆς κλίνης καὶ ἐφόρεσα τὸ ἱμάτιόν μου κτλ. BE. ἐφόρησα A. ἐξυπνήσας E. 9. ἦν γὰρ φησὶν αὐτὸς καὶ ἐν D. 10. ῥιγῶντι B. ῥιγώντι E. ῥιγόντι A. ῥιγοῦντι CD. 11. αἰγιόμαλον AE. αὐτὸ (= αὐτῷ) A. εἰς fehlt in B. πρὸς ἑαυτὸν D. 12. ἄρα AB. ἦν ἴδων A. ἦν ἴδον D. 13. ἡ δαιμ. BCD. καὶ ὡς τ. ἀ. BE. 15. ἀποκόμβιν BCE. ἀποκόμβην D. ἀποκόνβην F. μοι ἀποκ. fehlt in A. νομισμάτων CDEF. N N A. ὁλοκοτίνων B. 16. ἄδελφε fehlt in D. 17. μετὰ χαρᾶς ταῦτα δεξ. ἐξάπινα ἐστρ. BE. ἐξάπηνα C. πάλιν θέλων D. 18. ἀναδοῦναι CDE. ἀποκόμβιν BE. ἀποκόμβην CDA. ἀποκομβ.] ταῦτα F. 19. τινα] αὐτόν BE. 20. συναδελφῶ A. ἀδελφῶ die andern. fratribus An. 21. ὡσ εἶπεν fehlt bei A.

ἐπείρασα τὸν θεὸν κακῶς ποιῶν, καὶ ἐπληροφορήθην διαφόρως δι' αὐτῶν τῶν πραγμάτων, εἶπον· Παῦσαι ἀθλία ψυχὴ πειράζουσα τὸν ἀπείραστον.' τοσαύτας οὖν πληροφορίας ἐχούσης ἐκ θεοῦ τῆς ταπεινῆς μου ψυχῆς, οὗτοι οἱ ἄπιστοι τάχα σήμερον ἦλθον σὺν αὐτοῖς κἀμὲ εἰς ἀσπλαγχνίαν προτρέψασθαι.'

Cap. IX. Ἔτι οὔσης τῆς αὐτῆς πλη|θύος ἐν τῇ πόλει 284v
τοῦ λαοῦ, τὶς τῶν ξένων θεωρῶν τὴν τοιαύτην αὐτοῦ συμπάθειαν, ἠθέλησεν πειράσαι τὸν μακάριον καὶ ἐνδυσάμενος ἱμάτια παλαιὰ, προσέρχεται αὐτῷ ὑπάγοντι ἐπισκέψασθαι τοὺς τοῦ νοσοκομείου. δεύτερον γὰρ τῆς ἑβδομάδος ἦ καὶ τρίτον ἀπήρχετο, καὶ λέγει πρὸς αὐτόν· Ἐλέησόν με ὅτι αἰχμάλωτος ὑπάρχω.' λέγει τῷ διαδότῃ· Δὸς αὐτῷ ἓξ νομίσματα.' εἶτα ὡς ταῦτα ἔλαβεν, ὑπάγει καὶ ἀλλάσσει τὸ σχῆμα καὶ ὑπαντᾷ αὐτῷ δι' ἄλλης καὶ προσπίπτει αὐτῷ λέγων· Ἐλέησόν με ὅτι στενοῦμαι.' λέγει πάλιν ὁ πάπας τῷ διαδότῃ· Δὸς αὐτῷ ἓξ νομίσματα.' ὡς οὖν ἀπῆλθεν, λέγει τῷ πάπᾳ ὁ διαδότης εἰς τὸ οὖς αὐτοῦ· Μὰ τὰς εὐχάς σου, δέσποτα, ὁ αὐτὸς ἔλαβεν καὶ τὸ δεύτερον.' ἐποίησεν δὲ ἑαυτὸν ὁ πατριάρχης μὴ γινώσκοντα. ἦλθεν οὖν ἐκ τρίτου πάλιν λαβεῖν καὶ ἔνυξεν τὸν πάπαν ὁ τὸ χρυσίον βαστάζων, σημαίνων αὐτῷ, τὸν αὐτὸν εἶναι· τότε ἀποκρίνεται αὐτῷ ὁ

1. καὶ fehlt in BE. ἐπληροφορήθη C. 2. εἰπὼν A. καὶ εἶπον BDE. ὦ ἀθλ. BE. 3. τοσαύτης C. 4. οἱ ἄπιστοι fehlt in C. 5. ἑαυτοῖς D.

7. Θ. C. Η B. πληθύος ἐν τῇ πόλει τοῦ λαοῦ A. 8. τοῦ λαοῦ πλ. ἐν τ. π. die andern. Nach τὶς fügen BE ποτὲ hinzu. αὐτοῦ fehlt in D. 11. τοὺς fehlt in C. γὰρ] δὲ C. Zwischen ἦ τρίτον lässt A καὶ weg. 13. διανομεῖ C. Nach διαδ. fügen BE αὐτοῦ hinzu. N̊N̊F. 14. ὡς οὖν ἔλαβε ταῦτα, ἀλλάσσει πάλιν τὸ σχῆμα καὶ ὑπαντᾷ αὐτῷ πάλιν δι' ἄλλης C. ὑπάγη AD. καὶ fehlt in A. ἀλλάση A. ἀλλάσση D. 15. ἀπαντᾷ BE. δι' ἄλλης ὁδοῦ BE. 16. καὶ λέγει BE. ὁ πάπας πάλιν C fehlt in BE. 17. N̊N̊ A. ὡς οὖν ἔλαβεν αὐτὰ καὶ ἀπῆλθεν BE. 18. ὁ διαδ. τῷ π. D. 19. πρώτερον D. 20. ἑαυτὸν fehlt in C. τὸν μὴ γ. C. 21. τῷ πάπα CD. 22. ὡς σήμ. BE. αὐτῷ fehlt in C. εἶναι πάλι˜ C.

θεοφιλὴς ἀληθῶς ἐλεήμων· Δὸς αὐτῷ δώδεκα νομίσματα, μήπως ὁ Χριστός μού ἐστιν καὶ πειράζει με.'

Cap. X. Ναύκληρός τις ξένος ἐφύρασεν καὶ προσελθὼν τῷ μακαρίῳ ἐδέετο μετὰ πολλῶν δακρύων ἵνα συμπαθήσῃ αὐτῷ, ὡς καὶ πᾶσιν. ἐπιτρέπει οὖν λαβεῖν αὐτὸν πέντε λίτρας χρυσίου. καὶ ὡς ἔλαβεν ταύτας, ἀπελθὼν ἠγόρασεν ἐνθήκην, καὶ ἐμβληθεὶς εἰς πλοῖον κατὰ σύμβασιν ἔξωθεν τοῦ Φάρου εὐθέως ἐναυάγησεν. τὸ δὲ πλοῖον οὐκ ἀπώλεσεν. προσέρχεται οὖν πάλιν αὐτῷ τεθαρρηκὼς τῇ ἀγαθῇ αὐτοῦ γνώμῃ καὶ φησίν· 'Ἐλέησόν με, ὡς ὁ θεὸς τὸν κόσμον.' λέγει αὐτῷ ὁ πάπας· 'Πίστευσον, ἄδελφε, εἰ μὴ συνέμιξας τοῖς χρήμασιν τῆς ἐκκλησίας τὰ λοιπασθέντα σοι χρήματα, οὐκ ἐναυάγεις. ἀπὸ κακῶν γὰρ εἶχες αὐτὰ καὶ συναπώλεσαν καὶ τὰ ἀπὸ καλῶν.' πλὴν ἐπιτρέπει πάλιν δοθῆναι αὐτῷ δέκα λίτρας χρυσίου, παραγγείλας αὐτῷ μὴ συμμίξαι αὐτοῖς ἄλλα χρήματα. ἀγοράσας οὖν ἐνθήκην καὶ ἁρμενίσας ἡμέραν μίαν ἀνέμου βιαίου πνεύσαντος ἐξερρίφη εἰς τὴν γῆν, 285r καὶ πάντα ἀπώλεσεν | καὶ αὐτὸ τὸ πλοῖον καὶ οὐκ ἐσώθησαν εἰ μὴ αἱ ψυχαὶ καὶ μόνον. ἠβουλήθη οὖν ἀπὸ αἰσχύνης καὶ στενώσεως ὁ αὐτὸς ναύκληρος ἀπάγξασθαι. ἀλλ' ὁ θεὸς ὁ πάντοτε τῆς τῶν ἀνθρώπων προνοῶν σωτηρίας ὑποτίθεται τῷ μακαριωτάτῳ πατριάρχῃ, καὶ ὡς ἤκουσεν τὸ συμβὰν αὐτῷ δηλοῖ αὐτῷ μηδὲν τὸ σύνολον διστάσαντα ἐλθεῖν πρὸς αὐτόν. τότε καταπασάμενος χοῦν καὶ τὸν χιτῶνα

---

1. θεοφιλέστατοσ F. ἀληθῶσ fehlt in DF. ιβ N̊N̊ A. δέκα νόμισμ. D. δέκα N̊N̊F. 2. πειράζη A.

3. Ī C. Θ̄ B. 4. ἵνα ἐλεήση καὶ αὐτῶ (αὐτὸν B) ὡσ καὶ πᾶσιν BE. 6. ταύτας fehlt in A. 8. τὸ πλοῖον BE. ἔξω E. 8. παρευθὺ C. ὤλεσεν. DB. 9. πάλιν fehlt in E. αὐτῶ πάλιν C. αὐτῶ fehlt in D. ἀγαθῆ fehlt in D. 10. με δέσποτα A. 11. ὁ πάπας] ὕπαγε D. 12. λιπασθέντα A. σοι fehlt in B. 13. ἂν ἐναυάγεισ EB. καὶ διὰ τοῦτο συναπώλεσαν D. 15. αὐτὰ C. 16. μίαν ἡμέραν E. 17. ἐπιπνεύσαντοσ B. ἐξερήφη A. ἐξερήφην C. 18. ἀπώλεσεν ἀλλὰ καὶ C. αὐτὸ fehlt in A. οὐ διεσώθησαν B. 19. αἱ ψ. μόναι B. αἱ ψ. μόνον E. ἐβουλήθη A. 20. ὁ φιλάνοσ θσ̃ BE. 23. αὐτῷ] αὐτὸν E. 24. τότε] ὁ δὲ E. χοῦν τὴν κεφαλὴν αὐτοῦ BE.

ἀπρεπῶς διαρρήξας προσέρχεται αὐτῷ. ὡς οὖν εἶδεν αὐτὸν ἐν τοιούτῳ σχήματι ὁ πάπας, ἐμέμψατο αὐτὸν καὶ εἶπεν· Ἵλεώς σοι κύριος. εὐλογητὸς ὁ θεός. πιστεύω αὐτῷ ὅτι ἀπὸ σήμερον οὐ ναναγεῖς, ἕως οὗ ἀποθάνῃς. τοῦτο δέ σοι συνέβη, διότι καὶ αὐτὸ τὸ πλοῖόν σου ἐξ ἀδικίας ἦν κτισθέν.' εὐθέως οὖν ἐκέλευσεν παραδοθῆναι αὐτῷ ἕνα δόρκωνα δύο μυριάδων γομάτον σίτου ἐκ τῶν πλοίων τῶν διαφερόντων τῇ κατ' αὐτὸν ἁγιωτάτῃ ἐκκλησίᾳ. ὃν παραλαβὼν ἐξῆλθεν ἀπὸ Ἀλεξανδρείας καὶ διεβεβαιοῦτο ὁ αὐτὸς ναύκληρος, ὅτι Εἴκοσι νυχθήμερα ἠρμενίσαμεν, σφοδρῷ ἀνέμῳ μὴ δυνηθέντες ὅλως γνωρίσαι ποῦ ὑπάγομεν μήτε ἀπὸ ἄστρου μήτε ἀπὸ τόπου. μόνον δὲ ὅτι ἐθεώρει ὁ κύβερνος τὸν πάπαν σὺν αὐτῷ κρατοῦντα τὸν αὐχένα καὶ λέγοντα αὐτῷ· Μὴ φοβηθῇς. καλῶς ἀρμενίζεις.' μετὰ οὖν τὴν εἰκοστὴν ἡμέραν ἀνεφάνημεν ἐπὶ τὰς νήσους τῆς Βρεττανίας, καὶ χαλασάντων ἡμῶν εἰς τὴν γῆν, εὕραμεν ἐκεῖ λιμὸν μέγαν. ὡς οὖν εἴπομεν τῷ πρώτῳ τῆς πόλεως, ὅτι σῖτον γέμομεν, λέγει· Καλῶς ὁ θεὸς ἤγαγεν ὑμᾶς. εἴ τι θέλετε, ἐκλέξασθε ἢ ἑκάστῳ μοδίῳ νόμισμα ἓν ἢ ἀντίφορτον κασσίτερον.' ἐξελεξάμεθα οὖν τὸ ἥμισυ οὕτως καὶ τὸ ἥμισυ οὕτως. πρᾶγμα δὲ ὑπάγει εἰπεῖν ὁ λόγος, τοῖς μὲν ἀπείροις τῶν δωρεῶν τοῦ θεοῦ δύσπιστον ἢ ἄπιστον, τοῖς δὲ πεῖραν ἔχουσι τῆς αὐτοῦ θαυματουργίας πιστὸν καὶ ἀπόδεκτον. ἀρμενίσαντος τοίνυν τοῦ πλοίου καὶ ἐρχομένου πάλιν μετὰ χαρᾶς εἰς Ἀλεξάνδρειαν, ἐχαλάσαμεν εἰς Πεντάπολιν.' καὶ ἐξενέγκας ὁ ναύκληρος

1. αὐτῷ fehlt in C. 3. ἵλεος A. πιστεύω εὐλόγητος ὁ θς εἰς αὐτὸν E. 5. διότι] ὅτι A. 6. δόρκονα C. διόρκωνα A. δρόμωνα F. 7. γομάτων A. 8. ὧν A. 9. διεβ. ὅρκοις φρικτοῖς BE. ὡς ὅτι D. 11. γνωρῖσαι ὅλως E. τὸ ποῦ BE. ὑπάγωμεν A. ὑπὸ ἄστρ. D. 12. κυβερνήτης E. τὸν πάπα CD. 14. φοβοῦ A. τὴν fehlt in CD. 15. ἀνεφάνημεν BDE. ἀνεφάναμεν A. ἐφάνημεν C. εἰς τ. ν. CD. βρετανίας ACE. 16. εὕραμεν D. εὕρομεν die übrigen Hndss. 17. γέμομεν] ἔχομεν E. 18. ἤγαγεν] ἤνικεν A. 19. Ν̊ ἓν A. ὁλοκοτίνιν BE. ἓν fehlt in BE. κασσίτηρον ABCE (so stets). 20. ὑπάγη ὑμῖν D. 21. καὶ τοῖς ADE. 22. δύσπιστος A. 23. τοίνυν] γὰρ BE. 24. μετὰ χαρᾶς fehlt in C. πολλῆς fügt B hinzu. 25. ἐχαλάσαμεν BE. quievimus An. ἐχάλασαν AD. ἐχάλασεν C.

285v πωλῆσαι ἐκ τοῦ κασσιτέρου — εἶχεν γὰρ ἐκεῖ ἀρχαῖον | συναλλάκτην δεόμενον ἐξ αὐτοῦ — δίδωσιν αὐτῷ εἰς σακκὶν ὡς πεντήκοντα λίτρας. ἐκεῖνος οὖν θέλων δοκιμάσαι τὸ εἶδος εἴ ἐστιν καλὸν, ἔλυσεν αὐτὸ εἰς λαμπρὸν καὶ εὗρεν αὐτὸ ἄργυρον πρωτεῖον. ἐνόμισεν οὖν ὅτι ἐπείρασεν αὐτὸν, καὶ ἐνέγκας αὐτῷ τὸ σακκὶν λέγει αὐτῷ· Ὁ θεὸς συγχωρήσῃ σοι. τί γὰρ εὑρές με ποτε ἐπιθέτην πρὸς σὲ, ὅτι ἄργυρον ἀντὶ κασσιτέρου πειράζων μοι ἔδωκας'; ἐκπλαγεὶς οὖν ἐπὶ τῷ λόγῳ ὁ ναύκληρος λέγει· 'Πίστευσον, ἐγὼ εἰς κασσίτερον αὐτὸν ἔχω. εἰ δὲ ὁ ποιήσας τὸ ὕδωρ οἶνον, αὐτὸς δι' εὐχῶν τοῦ πάπα ἐποίησεν καὶ τὸν κασσίτερον ἄργυρον, οὐδὲν ξένον, καὶ ἵνα πληροφορηθῇς, ἐλθὲ εἰς τὸ πλοῖον καὶ βλέπεις τὰ ἕτερα τῶν μαζίων ὧν ἔλαβες.' ἀνελθόντες οὖν εὗρον τὸν κασσίτερον ἄργυρον πρωτεῖον γενόμενον. καὶ οὐ ξένον τὸ θαῦμα, ὦ φιλόχριστοι· ὁ γὰρ τοὺς πέντε ἄρτους πληθύνας καὶ πάλιν τὸ ὕδωρ Αἰγύπτου εἰς αἷμα μεταποιήσας καὶ τὴν ῥάβδον εἰς ὄφιν μετασχηματίσας καὶ τὴν φλόγα εἰς δρόσον μετενέγκας, εὐκόλως καὶ τοῦτο τὸ παράδοξον ἐποίησεν, ἵνα καὶ τὸν αὐτοῦ θεράποντα πλουτίσῃ καὶ τὸν ναύκληρον ἐλεήσῃ.

Cap. XI. Κατερχομένου ποτὲ τοῦ ἁγιωτάτου τούτου ἐν

1. κασσητηρίου A. ἐκεῖ] fehlt in D. αὐτοῦ συν. AE. συναλάκτην AE. 2. αὐτῷ] αὐτοῦ C. fehlt in BE. σακκὶν BE. σακίον A. σακκὴν D. σακὴν C. 3. ὡς fehlt in C. δοκιμάσαι θέλων BE. 4. ἐὰν A. καλόν ἐστι C. εἰσ λαμπρὸν A, die anderen Codices εἰσ πῦρ. εἰσ fehlt in C. 5. ἀργύριον DF. αὐτὸν] αὐτῶ E. 6. σακκὶν BCE. σακκὴν D. σακκίον A. 7. ἐπιθέτην ποτὲ D. πρόσ σε fehlt in D. ἀργύριον D. 8. με C. δέδωκασ A. ἔδωκασ μοι πειράζων με D. 9. πιστ. ἀδελφέ BE. 12. πληροφορηθεὶσ die Hnds. εἰσελθε A. 13. βλέπεισ fehlt in D. τὰ ἑταίρια A. ἔλαβεσ ἴδε D. οὖν ἐν τῶ πλοίω BE. 14. γενόμενον fehlt in D. Nach γενόμενον fügen BE hinzu: καὶ τότε λοιπὸν ἐξηγήσατο τῶι φίλωι αὐτοῦ ὁ ναύκληροσ πάντα τὰ συμβάντα αὐτῶ ἐν ἀλεξανδρεία· καὶ ὅτι τῆσ ἐκκλησίασ ἐστὶ (νE) τὸ πλοῖον. 16. μεταπ. εἰσ αἷμα CFB. 18. μετενεγκὼν C. ἀκαμάτωσ καὶ τοῦτο τὸ παράδοξον θαῦμα εὐκόλωσ ἐποίησεν BE. 19. ἑαυτοῦ BE.

21. ΙΑ C. Ι B. ἁγίου BE.

κυριακῇ ἐν τῇ ἐκκλησίᾳ, προσῆλθεν αὐτῷ ἄνθρωπος ὑπὸ κλεπτῶν συληθεὶς ὅλον τὸν οἶκον αὐτοῦ ἕως καὶ αὐτοῦ τοῦ στρώματος αὐτοῦ. ἦν δὲ ἐν εὐπορίᾳ πολλῇ ὁ κλαπείς, καὶ πολλῆς ζητήσεως γενομένης καὶ μὴ εὑρεθέντων τῶν κλεψάντων τὸν οἶκον αὐτοῦ, ἠναγκάσθη ἀπὸ πολλῆς ἄγαν στενώσεως προσελθεῖν μετὰ μεγάλης διατροπῆς τῷ ἐν ἁγίοις εἰπὼν αὐτῷ καὶ τὴν ἑαυτοῦ συμφοράν. συμπαθήσας οὖν αὐτῷ πολύ — ἦν γὰρ καὶ τῶν ἐμφανῶν ἐπιξενουμένων — λέγει τῷ πεπιστευμένῳ τὸ χρυσίον εἰς τὸ οὗς αὐτοῦ δοῦναι αὐτῷ χρυσίου δέκα πέντε λίτρας. ὡς δὲ ταύτας δοῦναι τούτῳ ἀπήρχετο, λαμβάνει βουλὴν τοῦ λογοθέτου καὶ τοῦ οἰκονόμου, καὶ ἐκ διαβολικῆς ἐνεργείας φθονήσαντες οὐ δέδωκαν αὐτῷ εἰ μὴ πέντε λίτρας. ὡς οὖν ὑπέστρεφεν ἐκ τῆς συν-
ἄξεως | ὁ αὐτὸς τιμιώτατος ἀρχιεπίσκοπος, ἐπιδίδωσιν αὐτῷ 286r
γυνὴ χήρα, ἔχουσα υἱὸν μονογενῆ, γνῶσιν ξενίου πέντε
κεντηναρίων χρυσίου. ὡς δὲ τοῦτο ἐδέξατο καὶ τὸ τίμιον σέκρετον ἀπέλυσεν, μετεκαλέσατο τοὺς διοικητὰς καὶ εἶπεν αὐτοῖς· Πόσας λίτρας δεδώκατε τῷ προσελθόντι μοι'; οἱ δὲ εἶπον· Ὡς ἐκέλευσεν ἡ ἁγία σου, δέσποτα, ἱερωσύνη, ιε λίτρας.' ὡς δὲ ἐνόησεν αὐτοὺς ἐκ τῆς ἐνοικούσης αὐτῷ χάριτος ὅτι ἐψεύσαντο, μεταστέλλεται τὸν λαβόντα καὶ ἐρωτᾷ αὐτὸν τὸ τί ἔλαβεν. τοῦ δὲ εἰπόντος· Πέντε λίτρας', ἐξενέγκας ἐκ τῆς τιμίας αὐτοῦ χειρὸς ὁ ὅσιος τὸ ἐπιδοθὲν αὐτῷ πιτ-

---

1. ἐν κυριακῆσ ἐν τῇ ἐκκλησία C. ἐν τῇ ἐκκλησία ἐν κυριακῇ BE. ἐν κυριακῇ εἰσ τὴν ἐκκλησίαν D. 5. ἄγαν fehlt in D. μεγάλησ] πολλῆσ C. 6. ἐντροπῆσ D. τῶ ἐν ἁγίοισ τούτω πάπα τὴν ἑαυτοῦ ἐξειπὼν συμφορὰν C. 7. συμφορὰν ἑαυτοῦ D. οὖν] δὲ BE. 8. πολὺ fehlt in A. ἐπιφανῶν C. τῶ διαδότη BE. 9. αὐτοῦ fehlt in BE. αὐτῶ δέκα πέντε λ. χρυσίου C. λίτρασ ιε BE. 10. τούτω δοῦναι ταύτασ C. ταύτασ δοῦναι αὐτῶ B. δοῦναι αὐτῶ αὐτὰσ D. 11. καὶ vor ἐκ fehlt in A. 12. δέδωκαν A, die übrigen δεδώκασιν. 13. ὑπέστρεψεν C. ἐπέστρεφεν D. 15. χήρα γυνή BE. γνῶσιν] χάριν C. 16. κεντηνάρια BC. κεντιναρίων ADE. centenariorum An. 17. σέκραιτον C. σίγκρητον E. σέκριτον A. 18. αὐτοὺσ C. ἐδώκατε C. οἱ δὲ εἶπον fehlt in B. 19. ἐκέλευεν C. ὡσ ἐκέλ. δέσποτα B. ἡ ἁγιωσύνη σου δεσπ. D. 20. λίτρασ χρυσίου D. 21. ψεύδονται E. Nach λαβόντα fügen BE. τὸ χρυσίον hinzu. αὐτὸν] αὐτῶ B.

τάκιον, εἶπεν αὐτοῖς· Ἐξ ὑμῶν ἀπαιτήσει ὁ θεὸς τὰ ἄλλα δέκα κεντηνάρια, ὅτι εἰ ἐδώκατε τὰς δεκαπέντε λίτρας, ὡς εἶπεν ἡ ταπείνωσίς μου, ὁ προσενέγκας τὰ πέντε κεντηνάρια, δεκαπέντε εἶχεν δοῦναι καὶ ἵνα πείσω ὑμᾶς πέμψας μεταστέλλομαι τὸν τυχόντα.' καὶ ἀποστείλας δύο ἄνδρας εὐλαβεῖς, μεταστέλλεται τὴν ἐπιδώσασαν αὐτῷ τὸ πιττάκιον εὐλαβεστάτην γυναῖκα ἐν τῷ βαπτιστηρίῳ, δηλώσας αὐτῇ· Τὴν εὐλογίαν, ἣν ἔβαλεν ὁ θεὸς εἰς τὴν καρδίαν σου προσενέγκαι αὐτῷ, φέρουσα μεθ' ἑαυτῆς ἐλθὲ πρὸς τὴν ταπείνωσίν μου.' ἡ δὲ δρομαίως ἀναστᾶσα καταλαμβάνει τὰ ἴχνη τοῦ ὁσίου μετὰ καὶ τοῦ ποσοῦ. ὡς οὖν ἐδέξατο τὴν καρποφορίαν ὁ πάπας καὶ ἐπηύξατο αὐτῇ καὶ τῷ υἱῷ αὐτῆς ἱκανῶς, λέγει πρὸς αὐτήν· Τὰς εὐχάς, ἀμμά, ταῦτα μόνον βουλὰς εἶχες δοῦναι τῷ Χριστῷ ἢ καὶ ἄλλο τι;' ὡς δὲ ἤσθετο τὸν θεοφόρον νοήσαντα ὃ ἐποίησεν, τρόμῳ συλληφθεῖσα εἶπεν· Μὰ τὰς ἁγίας τοῦ κυροῦ εὐχὰς καὶ τὸν ἅγιόν μου Μηνᾶν δεκαπέντε κεντηνάρια ἤμην γράψασα εἰς τὸ πιττάκιον καὶ πρὸ μιᾶς ὥρας τοῦ δοῦναί με αὐτὸ τῷ κυρῷ, ὡς ἱστάμην εἰς τὴν σύναξιν, ἀναλύσασα αὐτὸ ἀκαίρως, ἀνέγνωσα αὐτό· ἐγὼ γὰρ ἡ ἀναξία δούλη σου καὶ ἔγραψα αὐτὸ ἰδιοχείρως καὶ εὗρον ὅτι τὰ δέκα ἐλειάνθησαν ἀφ' ἑαυτῶν. τότε ἐγὼ ἔκθαμβος γενομένη εἰς ἑαυτὴν εἶπον· Πάντως οὐκ ἔστιν
286v θέλημα θεοῦ ἵνα | δώσω εἰ μὴ πέντε.' ἀπολύσαντος δὲ τοῦ πατριάρχου τὴν εὐλαβῆ γυναῖκα, ἔπεσαν εἰς τοὺς πόδας αὐτοῦ οἱ τὴν παρακοὴν αὐτοῦ ποιήσαντες διοικηταὶ, αἰτοῦνται

---

1. ἀπαιτήση C. ἀπετήσει E. 5. εὐλαβεῖσ ἄνδρασ BCDE. 6. ἐπιδοῦσαν B. 8. ἐνέβαλεν BCE. ὁ θσ̃ fehlt in C. προσένεγκε αὐτὸ C. 9. καὶ ἐλθὲ C. πρὸσ] εἰσ C. 10. δρομαίωσ ACDE. δρομαῖοσ B. ταχέωσ F. 13. πρὸσ fehlt in C. αὐτῇ D. ταῦτα μόνον fehlt in E. βουλῆσ C. 15. νοῆσαι B. 16. κιροῦ A. 18. δοῦναί μοι C. αὐτῶ A. 19. σύνταξιν E. ἀναλύσασ C. ἀνέγνων BE. 20. καὶ ὡσ ἀνέγνων αὐτὸ εὗρον D. 21. εὗρον] εἶπον E. ἐλιάνθησαν ABDE. ἠλειώθησαν C. ἐγὼ fehlt in CD. 22. ἑαυτὸν C. 23. τοῦ θῦ A. τὰ πέντε BE. 24. εὐλαβήν C. εὐλαβεστάτην BE. ἔπεσον D. 25. αὐτοῦ fehlt in AD. διοικηταὶ fehlt in D. αἰτοῦνται A.

τες συγχώρησιν καὶ διαβεβαιούμενοι μηκέτι τι τοιοῦτον διαπράξασθαι.

Cap. XII. Θεωρήσας τὴν τούτου τοῦ παναρέτου μεγαλοψυχίαν καὶ ἀφειδῶς ἡπλωμένην χεῖρα καὶ ὥσπερ ἐκ πηγῆς ἀεννάως πᾶσιν παρέχουσαν, Νικήτας ὁ πατρίκιος ἐξ ὑποβολῆς τινων διαβόλων, ἀνέρχεται πρὸς τὸν ὅσιον καὶ λέγει αὐτῷ· "Ἡ βασιλεία στενοῦται καὶ χρήματος ἐπιδέεται. ἀνθ' ὧν οὖν οὕτως ἀφειδῶς δαπανῶνται τὰ εἰσοδιαζόμενά σοι χρήματα, δὸς αὐτὰ τῇ βασιλείᾳ εἰς τὴν δημοσίαν σακέλλαν.' ὁ δὲ ἐπὶ τῷ λεχθέντι ἀτάραχος διαμείνας, λέγει πρὸς αὐτόν· 'Οὐ δίκαιόν ἐστι, ὡς οἶμαι, κῦρι ὁ πατρίκιος, τὰ τῷ ἐπουρανίῳ βασιλεῖ προσαχθέντα τῷ ἐπιγείῳ δοῦναι. εἰ δὲ καὶ ὅλως τίποτε τοιοῦτον ἔκρινας, πίστευσον, ὁ ταπεινὸς Ἰωάννης ἐξ αὐτῶν νουμὶν οὐ δίδει σοι· ἀλλ' ἰδοὺ ὑποκάτω τοῦ ταπεινοῦ χαλαδρίου μού ἐστιν ἡ ἀποθήκη τοῦ Χριστοῦ. ὡς βούλει, ποίησον.' ἀναστὰς οὖν εὐθέως ὁ πατρίκιος κράζει τοὺς βαστάσαι ὀφείλοντας ἐκ τῶν ἰδίων αὐτοῦ ἀνθρώπων καὶ φορτώνει αὐτοὺς ὅλα τὰ χρήματα, μὴ καταλείψας αὐτῷ εἰ μὴ ἓν κεντηνάριον. καὶ ὡς κατήρχοντο οἱ βαστάζοντες τὸ τοιοῦτον χρῆμα, ἀνήρχοντό τινες ἕτεροι βαστάζοντες κεράμια μικρὰ ἔχοντα χρήματα, πεμφθέντα ἀπὸ Ἀφρικῆς τῷ πάπᾳ, ἐπιγράφοντα τὰ μὲν 'μέλι πρωτεῖον' τὰ δὲ 'μέλι ἀκάπνιστον'. ὡς οὖν κατερχόμενος ὁ πατρίκιος ἀνέγνω τὰς ἐπιγραφὰς τῶν κεραμίων, δηλοῖ τῷ πάπᾳ πεμφθῆναι αὐτῷ ἐκ τοῦ τοιούτου μέλιτος λόγῳ τοῦ κελλαρίου αὐτοῦ· ἐγί-

1. τι fehlt in A. τοιοῦτον τι E.

3. IB C IA B. Θεωρήσαντεσ A. τούτου fehlt in C. 5. ἀεννάου CD. 7. χρήματα D. χρημάτων E. 8. δαπανοῦνται A. τὰ ἐπιδιδόμενα σ. χρ. A. 9. τῇ βασιλείαν (sic) E. σακέλλην D. σακκέλλαν F. 11. ὡσ fehlt in C. ὡσ οἶμαι fehlt in D. 12. τῷ ἐπιγ. βασιλεῖ D. καὶ fehlt in D. 13. πότε fehlt in D. 14. ἐξ αὐτῶν fehlt in A. νουμὴν A. νουμὶν BC. νουμμὶν E. νομὴν D. νουμίον ἓν F. δίδη A. ἀποκάτω C. 15. ταπεινοῦ fehlt in CD. χαραδρίου F. 16. βούλη AC. θέλεισ D. εὐθὺσ C. εὐθέωσ ὁ πατρίκιοσ εὐθέωσ κράζει D. 17. βαστάζειν B. 18. φορτώνη A. φορτόνει CD. 22. καὶ τὰ μὲν ἐπιγρ. D. 23. ἀκάπνιν C. 25. λόγου D. τοῦ κελλαρίου] τῆσ τραπέζησ F.

νωσκεν γὰρ τοῦ ὁσίου τὸ ἀμνησίκακον. ἀνελθόντος οὖν τοῦ τὰ κεράμια πεπιστευμένου καὶ ἐπιδώσαντος τὰς ἀποκρίσεις καὶ μηνύσαντος χρήματα εἶναι ἀντὶ μέλιτος ἐν τοῖς ἀγγείοις, εὐθέως ὁ ὄντως πρᾶος ποιμὴν ἀπέστειλεν αὐτῷ ἓν κεράμιον ἐπιγεγραμμένον 'μέλι πρωτεῖον', ποιήσας αὐτῷ καὶ πιττάκιον περιέχοντα οὕτως· 'Ὁ εἰπὼν δεσπότης· 'οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε | ἐγκαταλίπω', ἀψευδὴς ὑπάρχει καὶ θεὸς ἀληθινός. διὸ τὸν θεὸν τὸν πᾶσιν τὴν τροφὴν καὶ τὴν ζωὴν παρέχοντα ἄνθρωπος φθαρτὸς στενῶσαι οὐ δύ- 287r
νηται. ἔρρωσο.' παρήγγειλε δὲ τοῖς ἀπερχομένοις καὶ βαστάζουσι τὸ κεράμιον ἐπὶ αὐτοῦ ἀνοιχθῆναι καὶ εἰπεῖν αὐτῷ, ὡς ὅλα τὰ ἐθέασω τὰ κεράμια ἀνερχόμενα, χρήματα ἀντὶ μέλιτος γέμουσιν. ἐπὶ τραπέζης οὖν αὐτοῦ καθεζομένου κατὰ συγκυρίαν ἐμήνυσαν οἱ τὸ κεράμιον βαστάζοντες καὶ τὸ παραναγνωστικὸν τοῦ πάπα. ἀνελθόντων οὖν αὐτῶν ὡς εἶδεν ἓν μόνον κεράμιον, ἔφη ὁ πατρίκιος· 'Πίστευσον, κῦρι ὁ μέγας, εἰπὲ αὐτῷ, χολᾷς μοι, ἐπεὶ ἓν μόνον οὐκ ἔπεμπές μοι.' ἐπιδοθέντος δὲ αὐτῷ τοῦ πιττακίου καὶ ἀποβουλλωσάντων ἐκείνων εὐθέως καὶ κενωσάντων ἐπὶ ὅλων τὸ χρῆμα, ἐγνώρισαν αὐτῷ καὶ τὰ λοιπὰ κεράμια ἃ εἶδεν ὁμοίως γέμειν. ὡς οὖν ἀνέγνω, ὅτι ἄνθρωπος φθαρτὸς τὸν θεὸν στενῶσαι οὐ δύναται, κατανυγεὶς ἐπὶ τῷ λόγῳ εἶπεν· 'Καὶ ζῇ κύριος οὔτε Νικήτας στενώσει αὐτόν· ἄνθρωπος γὰρ

---

1. οὖν] δὲ BE. 2. ἀποδώσαντος C. ἐπιδόντος B. ἀποκρίσεις τῶ πάπα BE. 3. μηνύσας C. 5. μέλιν C. μέλη A. πρωτίον AD. 6. περιέχοντα A. περιέχων τάδε F. περιέχον die andern. Hebr. XIII 5 (vgl. Jesu I 5). 7. ἐγκαταλείπω CE. 9. τὴν vor τροφὴν fehlt in E. 11. αὐτοῦ] αὐτῶν B. αὐτῶ E. 12. τὰ ἐθεάσω τὰ κεράμια ἀνερχόμενα A. ἃ ἐθεάσω τὰ ἀνερχόμενα κέραμια F. ἃ ἐθεάσατο BCD. ἀνερχόμενα κεράμια BC. τὰ ἀνερχ. κεράμια D. κεράμια ἀνερχόμενα E. 13. γέμουσιν] ἔχουσιν D. καθεζ. αὐτοῦ C. 15. παρὰ ἀναγνωστικὸν C. παραγνωστικὸν A. 16. κεράμ. μόνον A. κεράμιον αὐτῶ παρὰ τοῦ πάπα πεμφθὲν F. πίστευσον εἰπὲ αὐτῶ κύρι ὁ μ. D. 17. εἴπατε αὐτῶ F. dicite ei An. 18. ἔπεμπε C. δὲ fehlt in C. αὐτοῦ C. ἀποβουλλωσάντων F. ἀποβουλωσ. die übrigen. 19. nach εὐθέως fügt D τὸ κεράμιον hinzu. ἐπὶ αὐτοῦ ὅλον τὸ χρῆμα BE. 21. ὅτι καὶ E.

καὶ αὐτὸς ἁμαρτωλὸς καὶ φθαρτός ἐστιν.' καὶ καταλιπὼν εὐθέως τὸ ἄριστον καὶ λαβὼν μεθ' ἑαυτοῦ ὅσα ἦν ἐπάρας χρήματα παρὰ τοῦ τιμίου πατρὸς καὶ τὸ πεμφθὲν παρ' αὐτοῦ κεράμιον καὶ ἐξ ἑαυτοῦ τρία κεντηνάρια, καταλαμβάνει τὰ τίμια αὐτοῦ ἴχνη, μηδένα εἰς ἴδιον ὀψίκιον συμπαραλαβών, ἀλλ' ἐν ταπεινοφροσύνῃ πολλῇ ἀνελθὼν παρεκάλει αὐτὸν ὡς ἐξ ἑτέρων διαβλητόρων κινηθέντα, συγχώρησιν αὐτῷ παρὰ θεοῦ αἰτήσασθαι, πληροφορῶν αὐτὸν, ὡς καὶ ἐπιτίμιον, ἐὰν δώσῃ αὐτῷ, προθύμως τοῦτο δέξηται καὶ φυλάξῃ. θαυμάσαντος δὲ τοῦ πάπα τὴν ὀξεῖαν τοῦ ἀνδρὸς μεταβολὴν, οὐδὲν περὶ τῆς ἐγχειρήσεως ἐνεκάλεσεν, ἀλλὰ καὶ μᾶλλον παρεμυθήσατο αὐτὸν λόγοις παρακλητικοῖς. τοιαύτη δὲ ἀμφοτέροις συνεδέθη ἔκτοτε ἀγάπη, ὡς καὶ σύντεκνον γενέσθαι αὐτὸν τοῦ πολλάκις εἰρημένου πατρικίου.

Cap. XIII. Ὁ τὸν Ἀβραὰμ εἰς τὸ συμφέρον πειράσας, ἵνα τὴν αὐτοῦ πίστιν ἅπας ὁ κόσμος μαθὼν μιμήσηται, 287v θεῷ μόνῳ ἐγνωσμένην, ἐπείρασεν καὶ τὸν ἀοίδιμον τοῦτον Ἰωάννην. ὁ δὲ τρόπος τῆς αὐτοῦ πείρας τύπος ὠφελείας ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις καθέστηκεν. ἔστιν δὲ αὕτη. τοῦ ἀμυθήτου πλήθους τῶν φευγόντων ἐκ τῶν Περσῶν, ὡς ἤδη προλέλεκται, καταλαμβάνοντος τὴν Ἀλεξάνδρειαν καὶ στενώσεως πολλῆς ἐκ τοῦ μὴ ἀνελθεῖν τὸν ποταμὸν κατὰ συνήθειαν γενομένης τροφῶν καὶ παντὸς τοῦ χρυσίου ἐκ-

---

4. αὐτοῦ τοῦ ὁσίου D. ἐξ αὐτοῦ D. καὶ ἐκ τῶν ἰδίων αὐτοῦ C. τρία] τριάκοντα E. 5. αὐτοῦ τὰ τίμια A. 7. διαβλητόρων fehlt in BE. διαβλ. ἀνδρῶν C. 8. τοῦ θῦ A. αὐτῷ A. 9. δέξηται τοῦτο D. δέξεται BE. δέξασθαι AC. 10. φυλάξει BDE. φυλάξαι AC. 13. ἀμφοτέρων BCE. ἔκτοτε συνεδ. BCD. ἐκ θῦ DE. 14. αὐτὸν fehlt in C. μνημονευθέντος C.

15. ΙΓ C. ΙΒ B. Nach πειράσας fügen BE θῦ hinzu. 16. μαθὼν fehlt in D. 17. μόνῳ πρώην BE. 18. πειρασίας D. 19. τοῦ χῦ BE. ἐκκλ. τοῦ θῦ C. 19. ταύτη C. 20. ἀναριθμήτου D. πλήθ. ἐκφευγόντων τῶν περσῶν D. 21. καταλαμβανόντων BE. 22. ἐκ fehlt in D. τὴν κατὰ συνήθειαν τοῦ λαοῦ ἐπαπορεῖν τροφὴν, ἀλλὰ καὶ τοῦ χρυσίου παντὸς C. 23. καὶ τροφῶν D. παντὸς χρυσίου B. παντὸς τοῦ χρυσίου: hier bricht Cod. F ab und fährt fol. 168r ἐν τῷ ὁρίῳ μου (cap. XIII S. 27, 23) fort.

δαπανηθέντος, οὗ ἦν κεκτημένος, ὁ ἐν ἁγίοις πατριάρχης ἔπεμψεν καὶ ἐδανείσατο ἀπὸ πολλῶν φιλοχρίστων περὶ τὰ δέκα κεντηνάρια. καὶ τούτων πάλιν ἀναλωθέντων καὶ ἔτι τοῦ λιμοῦ κρατοῦντος καὶ τοῦ λοιποῦ δανεῖσαι αὐτῷ τινος μὴ προαιρουμένου, ἀλλὰ πάντων τὴν ἐπικράτειαν τοῦ λιμοῦ φοβουμένων, καὶ τῆς χρείας τῶν εἰωθότων ἀποτρέφεσθαι ἐξ αὐτοῦ κατεπειγούσης, καὶ ἐν πολλῇ φροντίδι καὶ προσευχῇ τοῦ μακαρίου προσκαρτεροῦντος, αἰσθόμενός τις τῶν τὴν πόλιν οἰκούντων κτητόρων τὴν περιέχουσαν τὸν ἁγιώτατον στένωσιν καὶ παντελῆ ἀπορίαν, δίγαμος ὤν, ἐπεθύμει διάκονος γενέσθαι τῆς ἁγίας ἐκκλησίας. καὶ ὥσπερ ἐκ τῆς ἀνάγκης τῆς περιεχούσης πάντοθεν τὸν ὅσιον βουλόμενος πεῖσαι αὐτὸν, ἵνα χειροτονήσῃ αὐτὸν, ποιεῖ αὐτῷ δέησιν περιέχουσαν οὕτως — κατὰ πρόσωπον γὰρ οὐκ ἐτόλμα τι τοιοῦτον πρὸς αὐτὸν φθέγξασθαι. „Τῷ ἁγιωτάτῳ καὶ τρισμακαρίῳ πατρὶ πατέρων Ἰωάννῃ τοποτηρητῇ Χριστοῦ δέησις καὶ ἱκεσία παρὰ Κοσμᾶ ἀναξίου δούλου τῶν δούλων τῆς σῆς ἁγιωσύνης. μεμαθηκὼς, ἁγιώτατε κῦρι, τὴν περιέχουσαν τὴν τιμίαν σου κεφαλὴν κατὰ συγχώρησιν θεοῦ, μᾶλλον δὲ ἐξ ἡμετέρων ἁμαρτιῶν τροφῶν στενοχωρίαν, οὐχ ὅσιον ἡγησάμην ὁ δοῦλός σου ἐν ἀνέσει διάγειν, τοῦ δεσπότου μου ἐν στενώσει ἀεὶ ὑπάρχοντος. ἔστιν οὖν τῷ ἀναξίῳ δούλῳ σου σίτου χιλιάδες διακόσιαι καὶ χρυσίου λίτραι ρ̅π̅, ἅστινας δοῦναι παρακαλῶ τῷ Χριστῷ διὰ τοῦ κυροῦ. μόνον ὁ ἀνάξιος τῆς αὐτοῦ δια-
25 288r κονίας | ἐν ἀπολαύσει γένωμαι, ἵνα διὰ τῆς τοιαύτης σὺν τῷ

---

1. οὗ — πρῑάρχησ fehlt in C. 5. ἀλλὰ καὶ D. 6. τῶν αὐτῶν ϊωθότων A. ἀποστρέφεσθαι A. 7. κατεπειγούσησ fehlt in A. 9. πάπαν fügen BE hinzu. 11. ἁγίασ fehlt in D. 12. πάντοθεν fehlt in D. τὸν ἁγιώτατον πάντοθεν E. πειράσαι C. 13. ποιεῖ δὲ A. οὕτω A. 14. τοιοῦτον πρὸσ αὐτὸν fehlt in D. 15. τῶι ἐν ἁγίοισ πρ̄ι πρων ἰωάννη D. 15. τρισμακαρίστωι BEC. 16. καὶ ἱκεσία fehlt in C. παρὰ fehlt in D. Κόσμα C. 17. ἀναξίου fehlt in D. 19. ἡμῶν C. 20. τροφῶν fehlt in BE. 21. στενῶ C. ἀεὶ fehlt in DE. 23. λίτρεσ A. λίτραισ C. 24. διὰ τοῦ τοῦ κυροῦ E. δ. τῶ χῶ π B. παρ. δοῦναι τῶ χῶ D. 25. γένωμαι ἐν ἀπ. A. γένομαι CD.

κυρῷ τοῦ ἁγίου θυσιαστηρίου παραστάσεως καθαρισθῶ τῆς τῶν ἁμαρτημάτων μου ἀσωτίας. εἴρηται γὰρ, θεοκῆρυξ ἀληθινὲ, διὰ τοῦ ἁγίου ἀποστόλου Παύλου, ὅτι ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται.“

Ταῦτα δεξάμενος ὁ θεόσοφος καὶ τὸν ἄνδρα μεταστειλάμενος ἔφη πρὸς αὐτόν· ‘Σὺ εἶ ὁ τὴν δέησιν ἡμῖν διὰ τοῦ σοῦ νοταρίου καὶ υἱοῦ ἀποστείλας’; τοῦ δὲ φήσαντος· ‘Ναὶ δέσποτα’, ἐξήνεγκεν πάντας ἔξω ὁ μακάριος, μὴ θελήσας ὁ συμπαθέστατος ἐπὶ πάντων τοῦτον αἰσχῦναι, καὶ ἤρξατο λέγειν πρὸς αὐτόν· ‘Ἡ μὲν προσφορά σου πολλὴ καὶ τῷ καιρῷ ἀναγκαία, ἀλλ’ ἐπίμωμός ἐστιν, καὶ γινώσκεις ὅτι ἐν τῷ νόμῳ πρόβατον εἴτε μικρὸν εἴτε μέγα, εἰ μὴ ἄμωμον ἦν, εἰς θυσίαν οὐκ ἀνεφέρετο, καὶ διὰ τοῦτο οὐδὲ τῇ θυσίᾳ τοῦ Καΐν προσέσχεν ὁ θεός. ὅτι δὲ εἶπας, ἄδελφε, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται, περὶ τοῦ νόμου τῆς παλαιᾶς τοῦτο εἶπεν ὁ ἀπόστολος· ἐπεὶ πῶς φησιν ὁ ἀδελφὸς τοῦ κυρίου Ἰάκωβος ὅτι ‘ὅστις τελέσει πάντα τὸν νόμον, πταίσει δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος;’ περὶ δὲ τῶν ἀδελφῶν μου τῶν πτωχῶν καὶ περὶ τῆς ἁγίας ἐκκλησίας ὁ θρέψας αὐτοὺς θεὸς πρὶν γεννηθῶμεν ἐγώ τε καὶ σὺ, αὐτὸς καὶ νῦν τρέφει αὐτοὺς, μόνον ἐὰν τοὺς λόγους αὐτοῦ ἀτρώτους φυλάξωμεν. ὁ γὰρ τότε τοὺς πέντε ἄρτους πληθύνας δύναται καὶ τὰ δέκα μόδια τοῦ ὡρείου μου εὐλογῆσαι. διὸ ἐκεῖνο λέγω πρὸς σὲ, τέκνον, τὸ ἐν ταῖς πράξεσιν εἰρημένον· ‘Οὐκ ἔστιν σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ μέρει τούτῳ’.

Ὡς δὲ τοῦτον στυγνὸν καὶ ἄπρακτον ἀπέλυσεν, μηνύεται

---

1. τῆσ τοῦ E. 3. Hebr. VII 12. 6. τὴν δὲ ἡμῖν C. 7. συννοταρίου C. ἀπέστειλασ C. 8. ἐξενέγκασ D. 9. τούτων A. καὶ] αὐτὸν D. 10. ἡ] εἰ C. 11. ἀναγκαία ὑπάρχει ἀλλ’ ἐπεὶ νόμοσ D. ἐν τῷ νόμῳ ὅτι D. Levit. XXII 20. 13. ἀναφέρεται A. τὴν θυσίαν ACD. 15. νομοῦ C. 16. πα|ασ C. Die Silbe λαι ist am Ende der Kolumne weggefallen. 17. ὅστισ] ὃσ D. Jacob. II 10. 18. πέσει A. μέτοχοσ D. 20. γεννηθοῦμεν A. γεννηθῶ B. τε fehlt in A. 21. μόνον fehlt in B. 23. ὁρίου ACD. Mit den Worten ἐν τῷ ὁρίῳ μου δέκα μωδίουσ εὐλ. setzt Codex F fol. 168r wieder ein. 24. πράξεσι τῶν ἁγίων ἀποστόλων D. 25. Apostelgesch. VIII 21. μέροσ B. 26. δὲ fehlt in A. στυγνὸν] σκυθρωπὸν F.

αὐτῷ δύο δόρκωνας τῶν τῆς ἐκκλησίας χαλάσαι, ἐξ ὧν ἦν πέμψας ἐν Σικελίᾳ διὰ σῖτον. τοῦτο δὲ μαθὼν ὁ μακάριος, πεσὼν ἐπὶ τὴν γῆν, ηὐχαρίστησεν τῷ παντοδυνάμῳ θεῷ λέγων· Ἐὐχαριστῶ σοι, δέσποτα, ὅτι οὐ συνεχώρησας τῷ δούλῳ σου εἰς χρήματα πωλῆσαι τὴν χάριν σου· ὄντως οἱ
288v ζητοῦντες σὲ, κύριε, καὶ τοὺς τῆς ἁγίας σου | ἐκκλησίας κανόνας φυλάττοντες οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

Cap. XIV. Τινῶν δύο κληρικῶν πταισάντων, τουτέστιν ἐπιχειρησάντων ἀλλήλοις, τούτους ἠφόρισεν κανονικῶς πρὸς ἡμέρας. τούτων ὁ μὲν εἷς ἄσμενος κατεδέξατο τὸ ἐπιτίμιον καὶ συνέγνω τὸ ἑαυτοῦ πταῖσμα, ὁ δὲ ἄλλος, κακότροπος ὑπάρχων, χαίρων ἐδέξατο τὸ ἐπιτίμιον· ἀφορμὴν γὰρ ἐζήτει ὁ δείλαιος τοῦ μὴ εἰσέρχεσθαι εἰς τὴν ἐκκλησίαν, ἀλλ' ἄδειαν ἔχειν διηνεκῆ ἐν ταῖς ἀθέσμοις αὐτοῦ πράξεσιν· ὠργίζετο δὲ κατὰ τοῦ πάπα καὶ ὅσον τὸ ἐπὶ τῇ οἰκείᾳ προθέσει ἠπείλει βλάπτειν αὐτόν. τινὲς δέ φασιν καὶ αὐτὸν εἶναι τὸν διαβαλόντα τὰ χρήματα τῆς ἐκκλησίας πρὸς τὸν πατρίκιον Νικήταν, ἅπερ καὶ ἥρπασεν χειρὶ ὡς προγέγραπται. προσανηνέχθη οὖν τῷ μακαρίῳ ἡ τοῦ μνησικακοῦντος αὐτῷ ἀδιόρθωτος πρόθεσις. ὁ δὲ ὄντως ποιμὴν μνημονεύων τοῦ εἰρηκότος· 'τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ;' καὶ πάλιν· 'ὑμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζετε', ἠβουλήθη τοῦτον μεταστείλασθαι καὶ πρεπόντως νουθετῆσαι αὐτὸν καὶ λῦσαι τοῦ ἀφορισμοῦ· ἐθεώρει γὰρ τὸν λύκον

---

2. σικελλία A. εἰσ σικελίαν F. 3. προσεκύνησεν καὶ ηὐχ. A. παντοδυνάμω fehlt in D. 5. ὄντοσ A. οὕτωσ C. 7. φυλάττοντασ AC. οὐχ C.

8. ΙΔ̅ C. ΙΓ̅ B. Π̅ ΤΟΥ̑ ΚΑΚΟΤΡΌΠΟΥ ΚΛΗΡΙΚΟΥ̑ D. 9. ἠφώρησεν C. ἠφόρησεν A. 10. per aliquot dies An. ἀσμένωσ A. 12. χαιρόμενοσ CED. τὸ ἐπιτ. ἐδέξ. BECD. ἐγεγήθη ἐπὶ τῶ ἀφορισμῶ F. 13. δήλαιοσ ABC. δόλιοσ D. τὴν fehlt in D. ἐκκλ. τοῦ θῦ A. ἀλλὰ AE. 14. ἔχει C. 15. δὲ καὶ BE. 16. καὶ fehlt in BE. 17. τὸν διαβαλόντων C. 18. νικήτα C. καὶ fehlt in BD. ἅπερ καὶ χειρὶ ἐκ τὸν πάπαν ἀφήρπασε C. ὡσ προγέγραπται DE. ut praescriptum est An. fehlt in C. ὡσ γέγραπται AB. 19. αὐτοῦ A fehlt in CD. 21. II Kor. XI 29; Roem. XV 1.

ἁρπάσαι τὸ πρόβατον ἐπιχειροῦντα. κατ' οἰκονομίαν δὲ θεοῦ ἵνα γνωσθῇ πᾶσιν ἡ τοῦ πατριάρχου ἀμνησίκακος ψυχή, ἐπελανθάνετο τοῦτον μεταστείλασθαι καὶ λῦσαι τοῦ ἐπιτιμίου.

Ὡς οὖν ἡ ἁγία κυριακὴ κατέλαβεν καὶ τῷ ἁγίῳ θυσιαστηρίῳ παρέστη τὴν ἀναίμακτον θυσίαν προσενέγκαι, ἤδη λοιπὸν τοῦ διακόνου τὴν καθολικὴν ὑπάγοντος πληρῶσαι εὐχὴν καὶ τοῦ ἁγίου καταπετάσματος ὑψοῦσθαι μέλλοντος, εἰς ἔννοιαν τοῦ μνησικακοῦντος αὐτῷ ἦλθεν, καὶ εὐθέως ἐκείνου τοῦ θείου προστάγματος μνημονεύσας τοῦ φάσκοντος· Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον ἔμπροσθεν καὶ ὕπαγε πρότερον, διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου', δηλοῖ τῷ | τὴν διακονικὴν εὐχὴν ποιοῦντι 289r διακόνῳ ἀναλαβέσθαι ἐξ ἀρχῆς καὶ ἐὰν τελειώσῃ πάλιν ἀναλαβέσθαι, ἕως οὗ φθάσῃ ἡ αὐτοῦ ἁγιωσύνη. προσεποιήσατο γὰρ τὴν γαστέραν αὐτοῦ νύξασαν αὐτόν. καὶ ἐλθὼν ἐν τῷ τιμίῳ κειμηλιαρχείῳ ἀπέστειλεν εὐθέως κἂν εἴκοσι ἑβδομαρίους, ἐπιζητοῦντας τὸν εἰρημένον κακότροπον κληρικόν· ὁ γὰρ σκοπὸς τοῦ ποιμένος οὗτος ἦν τοῦ ἁρπάσαι ἐκ τοῦ στόματος τοῦ λέοντος τὸ πρόβατον. ὁ δὲ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν θεὸς ἐποίησεν κατὰ χεῖρας εὑρεθῆναι εὐθέως τὸν κληρικόν, καὶ ἐλθόντος αὐτοῦ ὡς τῆς ἀληθείας μαρτυρούσης πρῶτος ὁ πατριάρχης

7. τοῦ τὴν D. 9. εἰσ τὴν BE. 10. In Codex E sind die drei letzten Buchstaben von ἐκείνου ausradiert. θείου fehlt in E. 11. Matth. V 23. φάσκοντοσ ὅτι ἐὰν D. ἐπὶ τὸ θυσιαστήριον fehlt in D. 12. κἀκεῖ — θυσιαστήριον fehlt in C. μνησθεῖσ A. μνησθεὶσ D. σοῦ τὸ δῶρον A. ἔμπροσθεν fehlt in A. 13. πρῶτον BE. 15. διακονίαν τῆσ εὐχῆσ A. 16. πάλιν — ἕωσ fehlen in B, da das Pergament abgeschnitten ist. 17. ἕωσ οὗ ABCE. ἂν D. 18. γαστέρα CDE. 19. κημιλιαρχίω A. κειμιλιαρχείω E. 21. γὰρ] δὲ D. οὕτωσ C. ἦν οὗτοσ D. 22. ἐκ hat in Codex A der Corrector hinzugefügt. 22. τὸ πρόβατον ἐκ τοῦ κτλ. D. 24. εὐθέωσ εὑρεθῆναι AE. κατὰ χεῖρασ fehlt in A. 25. ὡσ fehlt in D.

ἔβαλεν μετάνοιαν εἰπών· 'Συγχώρησόν μοι, ἄδελφε.' αἰδεσθεὶς οὖν τὴν τοῦ τιμίου ἀρχιερωσύνην καὶ τὴν τῶν συνόντων παρουσίαν, μᾶλλον δὲ φοβηθεὶς τὸ κρῖμα καὶ φρίξας μή πως κατελθῃ πῦρ ἐξ οὐρανοῦ αὐτῇ τῇ ὥρᾳ καὶ ἀναλώσῃ αὐτὸν, θεωροῦντα τὴν τιμίαν ἐκείνην πολιὰν χαμαὶ κειμένην, ἔβαλεν καὶ αὐτὸς μετάνοιαν, αἰτῶν συγγνώμης καὶ φιλανθρωπίας τυχεῖν. καὶ εἰπόντος τοῦ πάπα· 'Ὁ θεὸς πᾶσιν ἡμῖν συγχωρήσῃ', ἀνέστησαν ἀμφότεροι καὶ εἰσῆλθον εἰς τὴν ἐκκλησίαν. καὶ τότε μετὰ πολλῆς χαρᾶς καὶ εὐφροσύνης παρέστη τῷ ἁγίῳ θυσιαστηρίῳ μετὰ καθαροῦ συνειδότος δυνάμενος εἰπεῖν τῷ θεῷ· 'Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.' οὕτως δὲ ἐσωφρονίσθη ἔκτοτε καὶ κατηνύγη ὁ ἀναγνώστης, ὡς ἀξιωθῆναι αὐτὸν καὶ τῆς τοῦ πρεσβυτέρου χειροτονίας.

Cap. XV. Θεοφόροι τινὲς τῶν ἁγίων πατέρων φασίν· 'Ἀγγέλων μέν ἐστι τὸ μηδὲ ὅλως μάχεσθαι, ἀλλ' ἐν παντελεῖ καὶ διηνεκεῖ εἰρήνῃ ὑπάρχειν, ἀνθρώπων δὲ τὸ ἀμφιβάλλειν μὲν, εὐθέως δὲ καὶ παρ' αὐτὰ διαλλάττεσθαι, δαιμόνων δὲ τὸ μάχεσθαι μὲν, ἀδιαλλάκτους δὲ τὴν ἡμέραν πᾶσαν παρέρχεσθαι.' τοῦτο δὲ προοιμιασάμεθα, φιλόχριστοι, τοῦ παρόντος ἡμῖν διηγήματος ἕνεκεν. Ἔδοξέν ποτε τοῦτον τὸν ἀοίδιμον μετὰ τοῦ προμνημονευθέντος Νικήτα τοῦ

2. ἁγίου C. τιμίου ἀνδρὸς BE. τιμίου πρ̄σ̄ D. τιμίου A. 3. παρόντων A. κρίμα τοῦ θῦ E. iudicium Dei An. 6. συγχωρήσεως D. 8. συγχωρήσει ABE. ἀνέστησαν ἀμφότεροι καὶ εἰσῆλθον A. ἀνέστησαν καὶ ἦλθον ἀμφότεροι CD. ἀνέστησαν ἑκάτεροι καὶ εἰσῆλθον ἀμφότεροι B. ἀνέστησαν ἑκάτεροι καὶ εἰσήλθωσαν ἀμφότεροι E. 9. ἁγίαν ἐκκλ. E. 12. ἀφίωμεν EF. οὕτος A. 13. ἐσωφρονίσθην F. κατηνύγει ACD. κατηνοίγει F. ἔκτοτε ὁ ἀν. D. ὥστε A. 14. πρεσβυτερίου E.

15. ΙΕ̄ C. ΙΔ̄ B. ΛΜΦΙΒΟΛΗ̑ ΤΟΥ̑ ΜΑΚΑΡΙΟΥ ΙΩΑΝΝΟΥ ΜΕΤᾺ ΤΟΥ̑ ΠΡΟΜΝΗΜΟΝΕΥΘΕΝΤΟϹ ΝΙΚΗΤᾺ ΤΟΥ̑ ΠΑΤΡΙΚΙΟΥ: D. φησὶν BDE. φησὶ C. φασὶν A. 16. ἀλλ' — διαλλάττεσθαι fehlt in B. 19. ἀδιαλάκτου C. 21. ἡμῶν E. ὑμῖν C. διηγήματος τὴν ὑπόθεσιν βουλόμενοι ἐξενεγκεῖν D. 22. ἀοίδιμον πριάρχην BE. νικήτα fehlt in D. νικὴ hat C am Ende der Zeile unter Weglassung von τα.

πατρικίου περί τινος δημοσίου πράγματος ἀμφιβάλαι. ὁ δὲ | 289v
τρόπος τῆς μάχης ἦν τοιοῦτος. ἀναγκαῖον γὰρ καὶ αὐτὸν
εἰπεῖν, ψυχωφελῆ τυγχάνοντα. ὁ μὲν πατρίκιος ἤθελεν
διοικῆσαι τὴν ἀγορὰν δημοσίου κέρδους ἕνεκεν. ὁ δὲ πα-
τριάρχης τοῦτο οὐκ ἠνείχετο τῆς τῶν πενήτων προνοούμενος
σωτηρίας, καὶ ἐν τούτῳ πολλὰ οὖν αὐτῶν ἐπὶ σεκρέτου
φιλονεικησάντων καὶ ἀσυμβιβάστων μενόντων, ἀνεχώρησαν
ἀμφότεροι πρὸς ἀλλήλους ὀργισθέντες ἀδιάλλακτοι. ἦν δὲ
ὥρα πέμπτη, καὶ ἡ μὲν τοῦ πατριάρχου ἀντίστασις καὶ
πικρία ὑπὲρ τῆς ἐντολῆς τοῦ θεοῦ ὑπῆρχεν, ἡ δὲ τοῦ
πατρικίου κέρδους χρηματιστικοῦ ἕνεκεν. ὅμως φησὶν ὁ
δίκαιος· 'Οὔτε ὑπὲρ εὐλόγου οὔτε ὑπὲρ ἀλόγου προφάσεως
ὀργίζεσθαι ὀφείλει ὁ ἄνθρωπος'. ὥρας οὖν ἑνδεκάτης κατα-
λαβούσης, δηλοῖ διὰ τοῦ πρωτοπρεσβυτέρου σὺν τῷ κλήρῳ
ὁ πάπας τῷ πατρικίῳ τοῦτο τὸ ἀξιομνημόνευτον ῥῆμα·
'Δέσποτα, ὁ ἥλιος πρὸς δυσμάς ἐστιν'. ὡς δὲ τούτου τοῦ
ῥήματος ἐκεῖνος ἤκουσεν, μὴ ἐνέγκας τὴν τῆς καρδίας αὐτοῦ
πύρωσιν, ἀλλ' ὥσπερ ὑπὸ θείου πυρὸς τοῦ λόγου κατανυγεὶς
τοῦ ὁσίου, σύνδακρυς εὐθέως ὅλος ἐγένετο, καὶ ἀναστὰς
καταλαμβάνει τὸν μακάριον. ὡς οὖν τοῦτον εἶδεν ὁ δίκαιος,
φησί· 'Καλῶς ἦλθεν ὁ υἱὸς τῆς ἐκκλησίας, ὁ ὑπήκοος τῆς
φωνῆς αὐτῆς.' βαλόντων οὖν ἀμφοτέρων μετάνοιαν καὶ περι-
πλακέντων ἀλλήλοις ἐκάθισαν καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ

---

1. πράγματος F. 2. τῆς — τοιοῦτος fehlt in Cod. B, da das Pergament weggeschnitten ist. τῆς τοιαύτης μετόχης ἦν οὗτος D. αὐτὸ D. 3. μὲν γὰρ BE. ἠθέλησεν D. ἠθέλησε E. 4. τοῦ δημοσίου A. 5. ἠνίχετο A. ἠνήχετο C. ἠνέσχετο BE. ἐδέχετο D. patiebatur An. 6. οὖν αὐτῶν fehlt in BE. καὶ ἐπὶ C. σεκραίτου A. σηκρήτου E. σεκρέτου die übrigen. 7. φιλονεικήσαντες E. ἀσυμβίβαστοι E. μεινάντων CD. μείναντες E. 10. ὁ δὲ C. 11. ἕνεκα E. 12. προφάσεως ὀφείλει τὸν ἀνον ἀδιάλλακτον εἶναι D. τὸν ἀνον C. 15. τοῦτο fehlt in C. τουτονὶ ῥῆμα C. 16. δέσποτα] τέκνον BE. 17. ἦκ. ἐκεῖνος D. μὴ — τῆς fehlt in B, da das Pergament weggeschnitten ist. 18. τοῦ λόγου ABCE. τῶ λόγω D. πυρὸς] ἄνθρακος F. 19. εὐθέως fehlt in D. γέγονεν A. 21. Nach ἐκκλησίας fügen BE καλῶς ἦλθεν hinzu. 22. βαλόντων D. 23. ἀλλήλοις περιπτυξαμένων F. ἀλλήλοις ABCDE.

τὸ σοφὸν ὁ πάπας εἶπεν· *Πίστευσόν μοι, δέσποτα, εἰ μὴ ὅτι οἶδά σε πάνυ θλιβόμενον ἐπὶ τούτῳ, ἐπεὶ οὐκ ὤκνουν ἐγὼ ἐλθεῖν πρὸς τὴν λαμπρότητά σου. καὶ γὰρ ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς αὐτὸς περιήρχετο τὰς πόλεις καὶ τὰς κώμας καὶ τοὺς οἴκους, ἐπισκεπτόμενος καὶ τοὺς ἀνθρώπους.' πάντων δὲ ἐπὶ τῇ ταπεινώσει τοῦ ἀρχιερέως οἰκοδομηθέντων καὶ θαυμασάντων, ἀπεκρίνατο πρὸς αὐτὸν ὁ πατρίκιος· Πίστευσον, πάτερ, ὅτι οὐκέτι χωροῦσιν τὰ ὠτά μου ἐκ τῶν ἐρχομένων καὶ διαβαλλόντων μοι τὰ πράγματα.' τότε ὁ σοφὸς διδάσκαλος εἶπεν αὐτῷ· Πίστευσον,* 290r *τέκνον καὶ ἄδελφε. ἐὰν πᾶσιν, οἷς ἀκούομεν, | θέλωμεν πιστεύειν, πολλῶν ἁμαρτιῶν γινόμεθα κύριοι, μάλιστα ἐν τῷ καιρῷ τούτῳ, ὡς ἐγένοντο οἱ πολλοὶ τῶν ἀνθρώπων μισάλληλοι, κἀμὲ γὰρ πολλάκις παρωδήγησαν οἱ προσαναφέροντες τὰς διοικήσεις τῶν πραγμάτων, καὶ μετὰ τὸ ποιῆσαί με πολλάκις τὴν ἐπεξέλευσιν, ὡς παρωδηγήθην, ὕστερον ἄλλοι τινὲς προσανέφερόν μοι, ὅτι παρεδιδάχθην ἐν τῷ κεφαλαίῳ. ὡς οὖν τοῦτο δεύτερον καὶ τρίτον ἔπαθον, ἔδωκα ὅρον ἑαυτῷ ἐκτὸς τῶν ἑκατέρων μερῶν μὴ δοῦναι τομὴν εἰς κεφάλαιόν ποτε, τοῖς δὲ προσαναφέρουσίν μοι, ὅτι, ἐὰν ψεύσωνται, τὴν ἁρμόζουσαν τιμωρίαν τῷ συκοφαντηθέντι ταύτην τῷ προσανενέγκαντί μοι καὶ ψευσαμένῳ διδόναι. καὶ ἐξ ἐκείνης τῆς ἡμέρας οὐδεὶς λοιπὸν τολμᾷ ἀνασφαλῶς κατά τινος προσανενέγκαι μοι τίποτε τὸ σύνολον. ὅπερ δυσωπῶ καὶ νουθετῶ τὴν σὴν μεγαλοπρέπειαν, τέκνον, ὁμοίως ποιῆ-*

---

1. *πάνσοφον* D. *τὸ σοφὸν αὐτοῦ στόμα* C. *τὸ τίμιον καὶ σοφὸν αὐτοῦ στόμα* BE. aperiens os suum An. *δέσποτα*] *τέκνον* BEF. 2. *ἴδον* D. *ἐπὶ τούτῳ* F. *ἐπὶ τοῦτο* die andern. 3. *πρὸσ*] *ἐπὶ* C. *καὶ θῦ* fehlt in B. *ὁ κῦ ἡμῶν καὶ θῦ ιῦ χῦ.* 5. *καὶ* fehlt in BDE. 7. *πρὸσ αὐτὸν* fehlt in B. 9. *μοι* fehlt in B. 12. *γενόμεθα* BCDE. *ἁμαρτημάτων κύριοι γεν.* D. *καὶ μάλιστα* BE. 13. *ἐγένετο* D. 14. *προσανεφέροντεσ* AB. 15. *τὸ* fehlt in A. 16. *ὑπεξέλευσιν* BE. *παροδηγηθῆναι* C. 19. *τοῦτο* wiederholt D nach *τρίτον*. 20. *καὶ τοῖσ προαναφέρουσιν* D. *ὅτι* fehlt in D. 22. *προσενέγκαντι* A. *προσαναφέροντι* D. *μοι*] *με* A. *ψευδομένῳ* D. *παρέχειν* CD. 23. *λοιπὸν* fehlt in D. *ἀσφαλῶσ* CD. 24. *ἀνενέγκαι* BE. *προσενέγκαι* A. 25. *νουθ. καὶ δυσωπῶ* E.

σαι. πολλάκις γὰρ καὶ φόνους ἀνευθύνους ποιοῦσιν οἱ τὸ ἄρχειν πεπιστευμένοι, ἐὰν ὑπάρχωσι λογοπειθεῖς καὶ ἀβασανίστως τέμνωσιν τὰ εἰς αὐτοὺς ἐρχόμενα κεφάλαια.' καὶ ὁ πατρίκιος ὥσπερ ὑπὸ θεοῦ παραγγελθεὶς συνέθετο τὴν αὐτοῦ ἐντολὴν φυλάττειν ἄτρωτον.

Cap. XVI. Οὗτος ὁ ἀοίδιμος εἶχέν τινα ἀνεψιὸν ὀνόματι Γεώργιον. ἐν μιᾷ οὖν ποιήσαντος τούτου μετά τινος τῶν τῆς πόλεως καπήλων μάχην, ὑβρίσθη ὁ εἰρημένος Γεώργιος ὑπ' αὐτοῦ χαλεπῶς. ὁ δὲ πονήσας πικρῶς οὐ μόνον διὰ τὸ δημοσίως αὐτὸν ἀτιμασθῆναι, ἀλλ' ὅτι καὶ ὑπὸ οἰκτροτέρου, μάλιστα δὲ καὶ διὰ τὸ εἶναι αὐτὸν ἀνεψιὸν τοῦ πάπα, ἀνέρχεται πρὸς αὐτὸν ἐν τῷ κουβουκλείῳ αὐτοῦ ἰδιάζοντος, κλαίων σφοδρῶς. ὡς δὲ τοῦτον οὕτως συνεχόμενον καὶ δακρύοντα ἐθεάσατο ὁ πρᾳότατος πατριάρχης, ἐπηρώτα αὐτὸν τὴν αἰτίαν τῆς κατεχούσης αὐτὸν ἀθυμίας, μαθεῖν ταύτην βουλόμενος. ὡς δὲ οὐκ ἴσχυσεν αὐτὸς ἐκ τῆς περιεχούσης πικρίας διαρθρῶσαι τὸν λόγον, οἱ παριστάμενοι σὺν αὐτῷ ὅτε ἡ ἀτιμία αὐτῷ συ|νέβη παρὰ τοῦ ἐργαστηριακοῦ, 290v ἤρξαντο ἀπαγγέλλειν τῷ πάπᾳ τὴν αἰτίαν. 'καὶ ὡς ὅτι οὐκ ὤφειλεν,' φησίν, 'οὕτως ἡ ἀγιωσύνη ὑμῶν καταφρονεῖσθαι, ὥστε τοὺς οἰκείους αὐτοῦ καὶ συγγενεῖς ἀτιμάζεσθαι ὑπὸ

---

2. ὑπάρχωσι] ὑπάρχουσι E. ὥσι F. εἰσὶ D. λογοπισθεὶσ A. 3. τέμνουσιν D. 4. ὁ δὲ πατρ. D. ὡσ ὑπὲρ ὑπὸ τοῦ θῦ A. ἐκ θῦ D. 5. ἄτρωτοσ E.

6. *I* ϛ C. *I* Ē B. ΠΕΡΙ ΤΟΥ̑ ἈΝΕΨΙΟΥ̑ ΤΟΥ̑ ΠΆΠΑ ὈΝΌΜΑΤΙ ΓΕΩΡΓΊΟΥ D. 6. οὗτοσ τοίνυν ὁ ἀοίδιμοσ ἐν πατριάρχαισ BE. 7. οὖν ἡμερῶν D. itaque dierum An. τούτου ποιήσαντοσ A. τινῶν BE. 9. ὑπ' αὐτοῦ fehlt in E. παρ' αὐτοῦ A. πονήσασ τὴν καρδίαν A. 10. ὑκτροτέρου A. οἰκτοτέρου B. οἰκροτέρου C. οἰκτωτέρου D. 12. ἰδιαζόντωσ E. 13. καὶ κλαίων σφόδρα A. 15. τῆσ αἰτίασ A. 16. ταύτην fehlt in A. 17. αὐτὸν πικρίασ A. διαρθρῶσαι AE. διαθρῶσαι C. διαρθῶσαι B. διορθῶσαι D. ὁ παριστάμενοσ BE. 18. συνέβη αὐτῷ A. αὐτῶ fehlt in E. παρ' αὐτοῦ τοῦ C. παρὰ τοῦ τοῦ E. 19. ἤρξατο BE. ἀπαγγ.] λαλεῖν D. οὐκ fehlt in B. 20. ὑμῶν] σοῦ BE. οὕτωσ ἡ ἁ. σ. οὕτωσ B. 21. αὐτῆσ B. αὐτῇ E. ἀτιμασθῆναι D. ὑπὸ εὐτελῶν καὶ ἐξουθενημένων ἀνδρ. E.

ἐξουθενημένων ἀνδρῶν.' ὁ δὲ ὄντως ἀληθινὸς ἰατρὸς θέλων πρῶτον ὥσπερ ἐμπλάστρῳ τινὶ ἀποθεραπεῦσαι τὴν τοῦ οἰκείου ἀνεψιοῦ μανίαν, καὶ τότε ὥσπερ σιδήρῳ τὴν τομὴν καὶ ἀπαλλαγὴν τοῦ πάθους διὰ τοῦ πανσόφου αὐτοῦ στόματος τούτῳ προσενέγκαι, τοιούτοις ἤρξατο λόγοις κατασβεννύειν τὸ πάθος καὶ λέγειν. 'Καὶ ὅλως ἐτόλμησέν τις ἀνοῖξαι τὸ στόμα καὶ ἀντιφθέγξασθαι πρὸς σέ; πίστευσον, τέκνον, ἐμοὶ τῷ πατρί σου, ὅτι ποιῶ εἰς αὐτὸν σήμερον πρᾶγμα, ἵνα ξενισθῇ πᾶσα ἡ 'Αλεξάνδρεια.' καὶ ὅτι εἶδεν αὐτὸν ἀποθεραπευθέντα καὶ τὴν λύπην ἅπασαν ἀποτιναξάμενον, ὡς νομίζοντα ὅτι ἐπεξέρχεται τῷ ὑβρίσαντι αὐτὸν καὶ βουνευρίζει καὶ πομπεύει αὐτὸν διὰ τοῦ ἐπάνω τῆς ἀγορᾶς, λέγει αὐτῷ καταφιλῶν τὸ στῆθος αὐτοῦ· 'Τέκνον, ἐὰν ἐπ' ἀληθείας ἀνεψιὸς ἐμοῦ τοῦ ταπεινοῦ ὑπάρχῃς, ἑτοίμασον σεαυτὸν καὶ δαρῆναι καὶ ὑβρισθῆναι ὑπὸ παντὸς ἀνθρώπου· ἡ γὰρ ἀληθινὴ συγγένεια οὐκ ἐξ αἵματος καὶ σαρκὸς, ἀλλ' ἐκ τῆς ἀρετῆς τῆς ψυχῆς γνωρίζεται.' εὐθέως οὖν μεταστειλάμενος τὸν ἐπάνω τῶν καπήλων, παρήγγειλεν αὐτῷ μηδέποτε λαβεῖν ἐξ ἐκείνου τοῦ καπήλου μήτε τὰς συνηθείας αὐτοῦ μήτε δημόσια μήτε τὸ ἐνοίκιν τοῦ ἐργαστηρίου αὐτοῦ. τῆς γὰρ ἁγιωτάτης ἐκκλησίας καὶ αὐτὸ ὑπῆρχε. καὶ ἅπαντες ἐκπλαγέντες τὴν ἀκίνητον τοῦ ἀνδρὸς μακροθυμίαν, ἐνόησαν τοῦτο εἶναι, ὅπερ εἶπεν, ὅτι ποιῶ εἰς αὐτὸν πρᾶγμα, ἵνα ξενισθῇ πᾶσα ἡ 'Αλεξάνδρεια, τουτέστι τοῦ συγκροτῆσαι αὐτὸν ἀντὶ τοῦ ἀμύνασθαι.

---

2. ἐνπλάστρω C. 4. τιμίου καὶ πανσόφου BE. 5. τοῦτο C. 6. τὸ πάθος fehlt in B. 9. πᾶσα ἡ ἁλεξ. ξενισθῇ BE. 10. ἀποτεναξάμενον B. 11. νομίσαντα BE. ὑπεξέρχεται BE. 12. βουνευρίζει καὶ τύπτει D. διὰ τοῦ fehlt in C. τοῦ ἐπάνω fehlt in BE. 13. λέγει αὐτὸν E. 14. ἐμοῦ τοῦ ταπεινοῦ ἰωάννου ἀνεψιὸς BE. 19. λαβεῖν αὐτὸν D. τὰ δημ. E. 20. τὸ fehlt in C. ἐνοίκην AD. ἐνοίκιν C. ἐνοίκιον BE. 21. ἐκκ. ὑπῆρχε τὸ ἐργαστήριον BE. καὶ αὐτὸ ὑπῆρχε] καὶ αὐτὸς ἦν F. et ipse An. ἅπαντες δὲ D. καὶ ἐκπλ. ἅπ. BE. 22. ἀκίνητον] πολλὴν καὶ ἄπειρον BE. 23. ὅτι fehlt in B. ποιήσω B. 24. ἡ fehlt in CD.

Cap. XVII. Ἐμηνύθη ποτὲ τούτῳ τῷ μακαρίῳ, ὅτι τις τῶν κληρικῶν μνησικακῶν πρός τινα ἀδιάλλακτος αὐτῷ διαμένει. ὁ δὲ ἐπεζήτει τὸ τούτου ὄνομα μαθεῖν καὶ τὸν βαθμόν. κυριακῆς οὖν | οὔσης τῇ ἐπαύριον ἔμαθεν τοῦτον 291r Δαμιανὸν μὲν ὀνομάζεσθαι, διάκονον δὲ ὑπάρχειν. παρήγγειλεν οὖν τῷ ἀρχιδιακόνῳ, ἵνα ὅταν εἰς τὴν ἐκκλησίαν ἔλθῃ ὁ αὐτὸς Δαμιανὸς, ὑποδείξῃ αὐτὸν αὐτῷ, μηδὲν τὸ σύνολον λέγων αὐτῷ. τῆς οὖν ἁγίας συνάξεως τῇ κυριακῇ γινομένης τῇ ἐπαύριον ἦλθεν καὶ ὁ διάκονος εἰς τὴν σύναξιν, καὶ θεωρήσας ὁ ἀρχιδιάκονος, ὑπέδειξεν αὐτὸν τῷ πατριάρχῃ. δι' αὐτὴν οὖν καὶ μόνην τὴν ὑπόθεσιν παρέστη τότε ὁ πάπας τῷ ἁγίῳ θυσιαστηρίῳ· τί δὲ ἐβούλετο ποιῆσαι, οὐδενὶ ἐθάρρησεν. ὡς οὖν ἦλθεν ὁ διάκονος Δαμιανὸς δέξασθαι ἐξ αὐτοῦ τὴν ἁγίαν κοινωνίαν κατὰ τὸν ἴδιον βαθμὸν, ἐκράτησεν τὴν χεῖρα αὐτοῦ ὁ ὅσιος καὶ εἶπεν· 'Ὕπαγε πρότερον, διαλλάγηθι τῷ ἀδελφῷ σου καὶ τότε ἐλθὼν ἀξίως μεταλάμβανε τῶν ἀχράντων τοῦ ἀμνησικάκου Χριστοῦ μυστηρίων.' ἐντραπεὶς οὖν ἐπὶ τοῦ τοσούτου πλήθους τῶν κληρικῶν ἀντειπεῖν τῷ ὁσίῳ καὶ μάλιστα ἐν τοιούτῳ τόπῳ καὶ ἐν τοιαύτῃ φρικτῇ ὥρᾳ, συνέθετο τοῦτο ποιῆσαι, καὶ τότε τῶν ἁγίων μυστηρίων μετέδωκεν αὐτῷ. ἔκτοτε οὖν ἅπαντες κληρικοί τε καὶ λαϊκοὶ παρεφυλάττοντο μὴ μνησικακεῖν ἀλλήλοις, φοβούμενοι μὴ καὶ αὐτοὺς θριαμβεύσῃ καὶ καταισχύνῃ, ὃν τρόπον καὶ τὸν διάκονον.

---

1. ΙΖ̅ C. Ι̅ϛ̅ B. ΠΕΡῚ ΤΟΥ̂ ΔΙὰΚΌΝΟΥ ΔὰΜΙὰΝΟΥ̂ D. 1. τούτω ποτὲ E. τρισμακαρίω BE. 2. κληρικῶν αὐτοῦ D. μνησικακῶν fehlt in C. ἀδιάλακτοσ A. ἀδιαλλάκτωσ E. αὐτῷ] οὕτω BE. fehlt in A. 3. ἐζήτει A. τούτου τὸ D. 4. καὶ κυριακῆσ οὔσησ D. 5. μὲν AE. quidem An. Die andern lassen es weg. 6. οὖν] δὲ CD. ὅτ' ἂν ἔλθη εἰσ τὴν ἐκκλ. BCDE. 7. μηδὲν — αὐτῶ fehlt in BCDE Anast. 8. γενομένησ AE. 9. καὶ fehlt in CD. 10. θεωρήσασ αὐτὸν D. 13. διάκων D. 14. ὑπ' αὐτοῦ BE. 15. πρῶτον AD. 16. καὶ διαλλάγηθι B. μεταλάμβανε ABDE. μεταλαμβάνεισ C. 17. τῶν ἀμνησικάκων καὶ ἀχράντων τοῦ χῦ μυστηρίων E. 18. τὸ τοσοῦτον πλῆθοσ C. συγκληρικῶν E. 19. ἀντεῖπεν A. καὶ τοιαύτη C. καὶ ἐν τοιαύτη B. 22. παρεφύλαττον A. τοῦ μὴ A. Die Kapitel XVIII—XLIII hat der Schreiber von D übersprungen.

Cap. XVIII. *Εἶχεν μὲν οὖν γνῶσιν καὶ τῶν θείων γραφῶν ὁ ἐν ἁγίοις, οὐκ ἐν σοφίᾳ δὲ λόγου ταύτας ὡς ἐπὶ κενοδοξίας ἀποστηθίζων, ἀλλὰ δι' αὐτῆς τῆς τῶν ἔργων πράξεως καὶ τῆς τῶν ἐντολῶν τηρήσεως. καὶ ἦν ἰδέσθαι τὸ σέκρετον αὐτοῦ ἐφ' ἑκάστης, οὐδένα λόγον ἀργὸν κεκτημένον — πλὴν εἰ μὴ διοίκησις πράγματος πολιτικοῦ κατέλαβεν — ἀλλ' ἢ διηγήματα ἁγίων πατέρων ἢ γραφικὰ ζητήματα ἢ δογματικὰ προβλήματα διὰ τὸ πλῆθος τῶν περιεχόντων τὴν χώραν ἀνωνύμων αἱρετικῶν· ἐὰν δέ πού τις καταλαλίας ἀπήρξατο, τοῦτον εὐφυῶς ὁ πάπας δι' ἑτέρας συντυχίας, ὡς σοφὸς, ἀντιπεριέσπα, καὶ εἰ πάλιν ἐπέμενεν, οὐδὲν τέως* 291v *αὐτῷ ἔλεγεν, ἀλλὰ τοῦτον σημειούμενος | παρήγγειλεν τῷ ἑβδομαρίῳ μηκέτι ἐᾶσαι αὐτὸν συνεισελθεῖν τοῖς μηνύουσιν, ὥστε δι' αὐτοῦ καὶ τοὺς λοιποὺς σωφρονισθῆναι.*

Cap. XIX. *Ὅρον δὲ καὶ ἄλλον ὃν ἐπετήδευσεν ὁ δίκαιος, δίκαιον μὴ παριδεῖν. ἀκούσας ὅτι ἡνίκα ἂν στεφθῇ βασιλεὺς, οὐδεὶς πρὸ τῶν μνημοραλίων μηνύει πρὸς αὐτὸν, τῆς συγκλήτου ἁπάσης καὶ τῶν στρατευμάτων παρεστώτων· ἀλλ' εὐθέως οἱ εἰρημένοι τῶν μνημάτων οἰκοδόμοι λαμβάνουσιν τέσσαρα ἢ πέντε κόμματα μαρμάρων μικρὰ ἐκ διαφόρων χροιῶν καὶ εἰσέρχονται πρὸς αὐτὸν καὶ λέγουσιν· Ποίου μετάλλου τὸ μνῆμά σου κελεύει γενέσθαι τὸ κράτος σου', αἰνισσόμενοι αὐτῷ, ὅτι ὡς ἄνθρωπος φθαρτὸς καὶ παρερχόμενος φρόντισον τῆς ἑαυτοῦ ψυχῆς καὶ εὐσεβῶς τὴν βασιλείαν διοίκησον, μιμεῖται καὶ οὗτος ὁ μακάριος τὴν*

---

1. *Ιη̄* C. *ΙΖ̄* B. 2. *ὁ ἐν ἁγίοις ἰωάννης ὁ πατριάρχης* BE. 3. *κενοδοξία* BE. *αὐτῆς* fehlt in A. 4. *ἦν* A. *ἦν* C. 5. *σέκραιτον* C. *σήκρητον* E. 6. *πραγμάτων πολιτικῶν* B. *πραγμάτων πολιτικοῦ* E. 7. *ἀλλὰ ἢ* A. *πρ̄ω̄ν ἁγίων* BE. *ζητήματα ἢ δογματικὰ* fehlt in A. 10. *ἀγχίνους καὶ σοφὸς* BE. 11. *εἰ*] *ἡ* A. 12. B hat *τοῦτο*; *ν* fügt der Corrector hinzu. *παρήγγελλεν* BE. 14. *δι' αὐτοῦ* fehlt in B.

15. *Ιθ̄* C. *ΙΗ̄* B. *ἀλλὰ καὶ ἄλλο ὃ* C. *ὅρον καὶ ἄλλον ἐπετήδ.* A. *ὁ δίκαιος πατριάρχης* BE. 17. *μνημοναλίων* BE. 18. *πάσης* A. 19. *ἀλλ' εὐθέως* fehlt in E. 20. *κόματα* E. *μικρὰ* fehlt in B. 22. *γενέσθαι κελεύει* C. 24. *τῆς ἑαυτοῦ φρόντισον* C. 25. *οὕτως* A.

ἀξιέπαινον ἀληθῶς ταύτην παράδοσιν καὶ ἐπιτρέπει ἑαυτῷ μνῆμα οἰκοδομηθῆναι, ὅπου καὶ οἱ λοιποὶ πρὸ αὐτοῦ πατριάρχαι κατέκειντο, ἀτελείωτον δὲ τοῦτο διαμεῖναι ἄχρι τῆς αὐτοῦ τελευτῆς, ἵνα, ὡς ἀτελειώτου ὑπάρχοντος, κατ' ἐπίσημον ἑορτὴν, τοῦ κλήρου παρισταμένου, εἰσέρχονται οἱ λεγόμενοι φιλόπονοι, λέγουσι πρὸς αὐτόν· Τὸ μνῆμά σου, δέσποτα, ἀτελείωτον ὑπάρχει. ἐπίτρεψον οὖν, ἵνα τελειωθῇ, διότι οὐκ οἶδας ποίαν ὥραν ὁ κλέπτης ἔρχεται.' τοῦτο δὲ ἐποίει ὁ ὅσιος οὕτως γίνεσθαι βουλόμενος μίμησιν ἀγαθὴν καὶ τοῖς μετ' αὐτὸν πατριάρχαις καταλιπεῖν.

Cap. XX. Τοῦ κυρίου ἐκ τῆς τῶν ἡμετέρων ἁμαρτημάτων πληθύος τοὺς οἰκείους ναοὺς συγχωρήσαντος τοὺς ἐν Ἱεροσολύμοις ὑπὸ τῶν θεηλάτων Περσῶν ἐμπρησθῆναι, μαθὼν ὁ ἁγιώτατος οὗτος πάπας, ἐν πολλῇ στενοχωρίᾳ τυγχάνειν τὸν ὅσιον Μόδεστον, τὸν πατριάρχην Ἱεροσολύμων, πρὸς τὴν τούτων ἀνέγερσιν καὶ ἀνοικοδόμησιν ἀποστέλλει αὐτῷ χίλια μὲν νομίσματα, χίλια δὲ σακκία σίτου καὶ χίλια ὀσπρέου, χιλίας λίτρας σιδήρου, χίλια κόλαθα μαινομένης, χίλια ἀσκαλώνια οἴνου καὶ χιλίους Αἰγυπτίους ἐργάτας, δηλώσας αὐτῷ διὰ γραμμάτων· Σύγγνωθί μοι, ἐργάτα ἀληθινὲ τοῦ Χριστοῦ, μηδὲν πέμψαντι ἄξιον τῶν ναῶν τοῦ Χριστοῦ. ἤθελον γὰρ, πληροφορήθητι, εἰ τῶν ἐνδεχομένων ἦν, καὶ αὐτὸς ἐγὼ ἐλθεῖν καὶ ἐργατεῦσαι ἐν τῷ οἴκῳ τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναστάσεως. πλὴν ἐκεῖνο παρακαλῶ τὴν

292r

---

1. αὐτῶ μνῆμα A. μνῆμα αὐτῶ BE. 2. πατριάρχαι fehlt in A. πατριάρχαι πρὸ αὐτοῦ E. 3. κατέκειντο BE. jacebant An. κατάκεινται AC. 5. εἰσερχόμενοι E. 8. ποία ὥρα C. 9. γενέσθαι C. 10. ἱεράρχαισ A. καταλειπεῖν C.

11. Κ C. ΙΘ B. τοῦ κῦ συγχωρήσαντοσ BE. 12. τοῖσ (sic) ἐν E. 13. ἐμπρισθῆναι E. 16. ἀνοικοδομὴν E. 17. μὲν fehlt in A. N̊N̊ AF. N̊ χιλίουσ οἰκοδόμουσ αἰγυπτίουσ καὶ ἀναλώματα πλεῖστα σίτου καὶ ὀσπρέου καὶ οἴνου καὶ λοιπῶν διαφόρων τροφῶν δηλώσασ κτλ. F. 18. ὀσπρίου BE. ὀσπρίου καὶ C. σιδήρου καὶ BE. μένησ B. μενομένησ ACE. menomenae An. 20. ἀληθινὲ ἐργάτα C. 21. τοῦ χῦ fehlt in E. πέμψαντα C. τὸν ναὸν BC. 23. ἐν] ἐπὶ BE. τῆσ ἁγίασ χῦ fehlt in A.

τιμίαν σου κεφαλὴν, μηδαμοῦ ἐντάξαι τὸ ἐλάχιστον ὄνομα τῆς ἐμῆς ἀναξιότητος, ἀλλὰ μᾶλλον τοῦτο αἰτήσασθαι Χριστὸν ἐκεῖ με ἀπογράψασθαι, ἔνθα ἀληθῶς ἡ ἀπογραφὴ ἡ μακαρία.'

Cap. XXI. Ἐπισπᾶται πρὸς ἑαυτὸν ὁ ὅσιος καὶ τοῦτο τὸ καλὸν, λέγω δὴ τὸ ἐν εὐτελεστάτῃ στρωμνῇ ἀνακλίνεσθαι καὶ οἰκτροῖς σκεπάσμασιν ἐν τῷ ἑαυτοῦ κελλίῳ κεχρῆσθαι· ὃν θεασάμενός τις τῶν κτητόρων τῆς πόλεως, ἀνελθὼν πρὸς αὐτὸν, καὶ ἰδὼν, ὅτι ἐν γοναχίῳ ἐσχισμένῳ καὶ ῥάσῳ σκέπεται, ἔπεμψεν αὐτῷ γονάχιον νομισμάτων τριάκοντα ἓξ, παρακαλέσας πολλὰ ἐν αὐτῷ αὐτὸν σκέπεσθαι εἰς τὸ μνημονεύειν, φησὶν, τοῦ προσενέγκαντος. ὁ δὲ τοῦτο δεξάμενος καὶ διὰ τὴν πολλὴν τοῦ ἀνδρὸς παράκλησιν σπεπασάμενος τοῦτο μίαν νύκτα, διὰ πάσης σχεδὸν τῆς νυκτὸς ἔλεγεν πρὸς ἑαυτὸν, ὡς οἱ τούτου διηγοῦντο κουβικουλάριοι· Τίς εἶπῃ ὅτι ὁ ταπεινὸς Ἰωάννης — εἶχεν γὰρ ἀεὶ ἐπὶ στόματος τὸν λόγον τοῦτον — εἰς τριάκοντα ἓξ νομισμάτων παλλὶν σκεπάζεται, καὶ οἱ ἀδελφοὶ τοῦ Χριστοῦ ἐκ τοῦ ψύχους ἀποπήγνυνται. πόσοι εἰσὶν ἄρτι τρίζοντες τοὺς ὀδόντας ἀπὸ τοῦ κρύους· πόσοι εἰσὶν ψιαθίον ἔχοντες κάτωθεν τὸ ἥμισυ καὶ ἄνωθεν τὸ ἥμισυ, καὶ οὐ δύνανται ἁπλῶσαι τοὺς ἑαυτῶν πόδας, ἀλλὰ κοιμῶνται ὡς κουβάριν, τρέμοντες. πόσοι εἰς ὄρος ἐκοιμήθησαν ἄδειπνοι καὶ ἄλυχνοι, ἔχοντες διπλῆν ὀδύνην ἔκ τε

---

1. ἐλάχιστον fehlt in A. 2. τοῦτο fehlt in E. 3. ἀπογράψαι BE. ἡ vor μακ. fehlt in B.

5. Κδ̄ C. K̄B. ἐπισπᾶτε E. αὐτὸν A. ε hat eine jüngere Hand übergeschrieben. 8. ὃν] ὃ C. κτητόρων] τὴν πόλιν οἰκοῦντων F. 9. καὶ ἰδὼν fehlt in CBE. καὶ ῥάσῳ fehlt in C. 10. παρακαλέσας αὐτὸν BE. 11. σκεπάζεσθαι BE. εἰς μνήμην C. 13. πολλὴν fehlt in C. 14. τοῦτο] αὐτὸ BE. ἔλεγεν fehlt in C. 15. ὡς οἱ τοῦ κουβουκλείου αὐτοῦ παραμένοντες τοῦτο διηγοῦντο C. εἶποι C. 16. ὁ ταπεινὸς A; τιο hat eine jüngere Hand in A übergeschrieben. ἀεὶ fehlt in E. 17. τοῦτον τὸν λόγον C. παλὶν AE. παλίον C. παλλίον B. 18. ἀποπίγνυνται AC. ἀποπνίγονται BE. (πηγνυμένους διατελεῖν Symeon). 21. καὶ ἄνωθεν τὸ ἥμισυ fehlt in ABE. 22. κουβάριν BE. κουβάρην A. ut glomus vel in globiis libri Anast. (AA. SS. Jan. T. II p. 506) fehlt in C.

τοῦ ψύχους καὶ τῆς νηστείας. πόσοι ἐπιθυμοῦσιν χορτασθῆναι ἀπὸ τῶν φυλλολαχάνων τῶν ῥιπτομένων ἀπὸ τοῦ ἐμοῦ μαγειρείου. πόσοι ἤθελον βάψαι τὸν ἑαυτῶν ψωμὸν εἰς τὸν ζωμὸν, ὃν ῥίπτουσιν οἱ ἐμοὶ μάγειροι· πόσοι ἐπιθυμοῦσιν κἂν ὀσφρανθῆναι οἴνου τοῦ ἐκχυνομένου εἰς τὸ | ἐμὸν 292v 5
κελλάριον. πόσοι εἰσὶν εἰς τὴν πόλιν ταύτην ἐν τῇ ὥρᾳ ταύτῃ ξένοι μὴ ἔχοντες ποῦ καταλῦσαι, καὶ ἐν τῇ ἀγορᾷ κείμενοι, ἴσως καὶ βρεχόμενοι. πόσοι ἄρα ἔχουσιν ὅλον τὸν μῆνα ἢ καὶ δύο μὴ γευσάμενοι ἐλαίου· πόσοι εἰσὶν μὴ ἔχοντες δεύτερον ἱμάτιον θέρους καὶ χειμῶνος καὶ οὕτως ταλαι- 10
πωροῦσιν. σὺ δὲ προσδοκῶν καὶ τῆς αἰωνίου ἀπολαύσεως τυχεῖν καὶ οἶνον πίνεις καὶ ἰχθύας παμμεγέθεις ἀναλίσκεις καὶ εἰς κουβούκλεια διατρίβεις, ἄρτι δὲ μετὰ ὅλων τῶν κακῶν καὶ εἰς γονάχιον τριάκοντα ἓξ νομισμάτων θερμαίνῃ. ὄντως οὕτως ζῶν καὶ ἐν τοιαύτῃ ἀνέσει διάγων μὴ προσδοκήσῃς 15
τῶν ἐκεῖ ἡτοιμασμένων ἀγαθῶν ἀπολαῦσαι· ἀλλ' ἀκούσῃ πάντως, ὃ καὶ ὁ πλούσιος ἐκεῖνος ἤκουσεν· 'ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, οἱ δὲ πτωχοὶ τὰ κακά.' νῦν δὲ αὐτοὶ παρακαλοῦνται, σὺ δὲ ὀδυνᾶσαι. εὐλόγητος ὁ θεός· ὁ ταπεινὸς Ἰωάννης ἄλλην νύκτα εἰς σὲ οὐ σκεπάζεται. δί- 20
καιον γὰρ καὶ εὐαπόδεκτον τῷ θεῷ, ἵνα σκεπάζωνται ρμδ ἀδελφοὶ καὶ δεσπόται σου, ἢ σὺ ὁ ταλαίπωρος.' ἐπιπράσκοντο γὰρ τέσσαρα παλλία τοῦ νομίσματος. εὐθέως οὖν ἔπεμψεν αὐτὸ ἐπὶ τὴν αὔριον, ἵνα πραθῇ, καὶ θεωρήσας αὐτὸ ὁ τοῦτο προσενέγκας ἠγόρασεν αὐτὸ εἰς τριάκοντα ἓξ 25

---

2. φύλλων τῶν λαχάνων C. 3. ἤθελον καὶ ἐπιθυμοῦσιν κἂν ὀσφρ. unter Weglassung der Worte βάψαι — μαγ. πόσοι E. εἰς τὸν ζωμὸν fehlt in C. 5. χύνουσιν B. τοῦ οἴνου E. 10. καὶ fehlt in B. 13. ἄρτι] ἔτι BE. 15. οὕτω E. τῇ αὐτῇ C. 16. ἀγαθῶν AF fehlt in BCE. ἀλλὰ A. 17. ἤκουσεν τὸ C. Luc. XVI 25. 18. νῦν οὖν C. 20. ἰωάννης ἄλλ ὃ σὲ οὐ σκ. E. κεπάζεται A. 21. εὐπρόσδεκτον A. τῷ θῷ fehlt in BE. τῷ fehlt in C. ἑκατὸν τεσσαράκοντα C. πεντίκοντα τέσσαρες B. 22. πτωχοὶ καὶ δεσπόται A. 23. παλία A. τῷ νομίσματι BE. 25. αὐτῷ τῶν ιϛ' N N A.

νομίσματα καὶ πάλιν προσήνεγκεν αὐτὸ τῷ πάπᾳ. ὡς δὲ πάλιν ἐπὶ τὴν αὔριον εἶδεν αὐτὸ προβληθὲν, ἠγόρασεν αὐτὸ ὁμοίως καὶ προσήνεγκεν τῷ πάπᾳ, δυσωπῶν ἵνα σκεπάζηται αὐτῷ. ὡς δὲ τρίτον τοῦτο ἐποίησεν, λέγει αὐτῷ ὁ ἐν ἁγίοις χαριεντιζόμενος· Ἴδωμεν τίς περικακεῖ, ἐγὼ ἢ σύ.' ἦν γὰρ τῶν εὐπόρων πάνυ, καὶ ἡδέως ἐτρύγα αὐτὸν ὁ ὅσιος καὶ ἔλεγεν ἀεὶ, ὅτι ἐὰν σκοπῷ τοῦ δοῦναι τοῖς πτωχοῖς δύναταί τις καλοθελῶς ἀποδῦσαι τοὺς πλουσίους καὶ αὐτὸ τὸ ὑποκάμισον αὐτῶν, οὐχ ἁμαρτάνει, καὶ μάλιστα, ἐάν εἰσιν ἄσπλαγχνοί τινες καὶ σκνιφοί. δύο γὰρ ταῦτα κερδαίνει ὁ τοιοῦτος, ἓν μὲν ὅτι τὰς ψυχὰς ἐκείνων σῴζει, δεύτερον δὲ 293r ὅτι καὶ αὐτὸς ἐκ τούτου μισθὸν οὐκ ὀλίγον ἔχει. ἔφερεν δὲ καὶ πρὸς πίστωσιν τοῦ λόγου καὶ μαρτυρίαν ἀληθῆ τὸ κατὰ τὸν ἅγιον Ἐπιφάνιον καὶ Ἰωάννην τὸν ἐπίσκοπον Ἱεροσολύμων, πῶς διὰ τέχνης ἐπῆρεν τὸν ἄργυρον τοῦ πατριάρχου, ἤγουν αὐτοῦ τοῦ Ἰωάννου καὶ δέδωκεν τοῖς δεομένοις.

Cap. XXII. Ἄξιον καὶ ἁρμόζον τῷ προειρημένῳ κεφαλαίῳ ἐξηγεῖτο καὶ τοῦτο ἐν μιᾷ ἐπὶ πάντων ὁ ὅσιος. εἶχόν, φησί, τινα παραμονήτην εἰς τὴν ἐμὴν ἀποθήκην ἐν Κύπρῳ πιστὸν πάνυ καὶ παρθένον ἕως τελευτῆς αὐτοῦ. οὗτος οὖν διηγεῖτό μοι, ὅτι Ἐν Ἀφρικῇ ὄντος μου, γέγονε πρᾶγμα τοιοῦτον. παρέμενον γάρ,' φησί, 'τινι τελώνῃ εὐπόρῳ σφόδρα καὶ ἀνελεήμονι. ἐν μιᾷ οὖν τῶν πτωχῶν ἐν χειμῶνι καθεζομένων ἐν τῷ ἡλίῳ καὶ θερμαινομένων, ἤρξατο ἕκαστος τοὺς οἴκους τῶν ἐλεημόνων ἐγκωμιάζειν καὶ ὑπερεύχεσθαι

1. προσήνεγκεν αὐτῶ τῶ πάπα. ὁ δὲ πάλιν ὁμοίως: hier bricht Cod. F fol. 173v ab. Hinter πάπα fügt B hinzu: δυσωπῶν ἵνα σκεπάζηται αὐτό. ὡς δὲ — τῷ πάπᾳ fehlen in C. 3. σκεπάζεται AE. 4. αὐτὸ BE. 5. περικακήσει, τέκνον BE. 7. σκοπῶν B. 8. καλοθῶς C. 9. οὐ οὐχ B. 10. σκνιφοὶ] φειδολοὶ C. 13. καὶ fehlt in B. τὰ BE.

17. $K\overline{B}$C. $K\overline{A}$B. Hinter κεφαλαίω fügt C εἰπεῖν hinzu. 18. καὶ τοῦτο fehlt in AC. ἐν μιᾷ fehlt in A. 19. φησὶ fehlt in A. 21. μοι fehlt in BE. 22. γάρ φησι fehlt in BE. 23. καθ. ἐν χειμ. BE. 24. ἐν τῷ — θερμαινομένων fehlt in A. 25. τῶν φιλοθέων καὶ ἐλεημ. ἀνδρῶν BE. ἐπεύχεσθαι BE.

ἑνὶ ἑκάστῳ αὐτῶν, ὁμοίως καὶ τοὺς οἴκους τῶν ἀνελεημόνων ψέγειν. ἐν τῷ μεταξὺ οὖν ἦλθεν εἰς μέσον αὐτῶν καὶ τὸ ὄνομα τοῦ αὐθέντου μου τοῦ τελώνου, καὶ ἤρξαντο ὁ καθεῖς ἐρωτᾶν τὸν πλήσιον· Ὄντως, σὺ ἄδελφε, ἔλαβές ποτε ἐκ τοῦ οἴκου ἐκείνου ἐντολήν;' καὶ πάντων ἐρωτησάντων ἀλλήλοις οὐδεὶς εὑρέθη λαβών ποτε ἐκ τοῦ οἴκου αὐτοῦ τίποτε. λέγει οὖν εἷς ἐξ αὐτῶν· 'Τί δίδετέ μοι κἀγὼ λαμβάνω σήμερον ἐξ αὐτοῦ ἐντολήν;' καὶ ποιησάντων μετ' αὐτοῦ συνθήκην, ἔρχεται καὶ ἵσταται ἔξωθεν τοῦ πυλῶνος τοῦ οἴκου τοῦ τελώνου, περιμένων πότε μισσεύσῃ. ἐξ οἰκονομίας οὖν τοῦ θεοῦ ἔφθασαν ὁμοῦ αὐτὸς εἰσερχόμενος εἰς τὸν πυλῶνα καὶ τὸ ἄλογον πεφορτωμένον τὰ σιλίγνια ἐκ τοῦ μαγκιπείου λόγῳ τοῦ ἀρίστου αὐτοῦ. θεωρήσας οὖν τὸν πτωχὸν, ἁρπάξει ἀπὸ θυμοῦ, μὴ εὑρὼν λίθον, ἓν σιλίγνιον ἐκ τοῦ κανθηλίου καὶ ἀπολύει εἰς τὸ πρόσωπον αὐτοῦ. ἐκεῖνος οὖν ἐδέξατο αὐτὸ καὶ ἀπῆλθεν πληροφορῶν τοὺς συναδέλφους αὐτοῦ ὅτι ἐξ αὐτῶν τῶν χειρῶν αὐτοῦ ἐδέξατο αὐτό. μετὰ οὖν δύο ἡμέρας ἠσθένησεν ὁ τελώνης ἀσθένειαν εἰς θάνατον καὶ θεωρεῖ κατὰ τοὺς ὕπνους ἑαυτὸν λογοθετούμενον καὶ τὰς ἑαυτοῦ πράξεις πάσας ἐπὶ | ζυγοῦ σταθμιζο- 293v 20
μένας. εἰς τὴν μίαν οὖν πλάστιγγα συνήγοντό τινες μαῦροι κακοειδεῖς. ἡ δὲ ἄλλη πλάστιξ ἄλλων τινῶν ὑπῆρχεν λευχειμονούντων καὶ φοβερῶν τῷ εἴδει, οἵτινες μηδὲν εὑρίσκοντες ἀγαθὸν ἀντισταθμῆσαι πρὸς τὰ πονηρὰ ἔργα τὰ συναγόμενα ὑπὸ τῶν μαύρων εἰς τὴν ἑαυτῶν πλάστιγγα

2. οὖν μεταξὺ BE. 3. ἡ τοῦ αὐθ. ἐπωνυμία A. ἤρξατο E. ὁ fehlt in A. 5. ἀλλήλοις ACE. ἀλλήλους B. 6. τίποτε] ἐκείνου ἐντολήν B. 7. δίδητε C. δίδοτε A. λαβάνω B. 8. ἐξ αὐ. σήμ. ἐντ. λαμβάνω C. 9. πυλεῶνος A. 10. μισσεύσει BE. μισεύση A. εἰσέλθη C. οὖν τοῦ] δὲ BE. 11. πυλεῶνα A. 12. μαμκιπίου A. μαγκηπίου BE. μαγκιπίου C. 13. λόγου C. 14. ἕνα (sic) E. 16. ἀδελφοὺς BE. 17. αὐτοῦ fehlt in A. 18. οὖν] δὲ BE. 20. ἐπὶ ζύγου πάσας A. πάσας fehlt in E. 21. καὶ εἰσ μὲν τὴν μίαν πλάστιγγα BE. 22. Auf fol. 174r setzt Codex F wieder mit den Worten ein: [πο]νηρὰ ἔργα προσφέροντες. ἡ δὲ ἄλλη πλάστιξ κτλ. F. ἑτέρα BE. πλάστιγξ E. λευχημ. CE. λευκοφορούντων F. 23. εὑρικότες F. 24. ἀντισταθμίσαι A. 25. συνηγμένα B.

λίαν ἐλυποῦντο καὶ ἐστύγναζον καὶ διηπόρουν πρὸς ἀλλήλους καὶ ἔλεγον· Εἶτα ἡμεῖς οὐδὲν ἔχομεν ὧδε.' τότε λέγει εἷς ἐξ αὐτῶν· Ὄντως οὐδὲν ἔχομεν, εἰ μὴ ἓν σιλίγνιον ὃ δέδωκεν πρὸ δύο ἡμερῶν τῷ Χριστῷ ἀκουσίως καὶ αὐτό.' καὶ βαλόντων αὐτῶν τὸ σιλίγνιον ἐξισώθη τῇ ἄλλῃ πλάστιγγι. τότε λέγουσιν τῷ τελώνῃ οἱ φαινόμενοι αὐτῷ λευχειμονοῦντες· Ὕπαγε, πρόσθες εἰς τὸ σιλίγνιον τοῦτο, ἐπεὶ ὄντως οἱ μαῦροι οὗτοί σε παραλαμβάνουσιν.' διυπνισθεὶς οὖν ἔγνω τὰ ὁραθέντα αὐτῷ μὴ εἶναι ψευδῆ, ἀλλὰ ἀληθῆ. πάντα γὰρ τὰ ἀπὸ νεότητος αὐτοῦ καὶ ἃ ἦν αὐτὸς ἐπιλαθόμενος ἐθεώρει τοὺς αἰθίοπας ἐκείνους συνάγοντας καὶ φέροντας εἰς τὸ ζύγιον. καὶ ἔλεγεν· Βαβαί, ἐὰν ἓν σιλίγνιον ὃ ἔρριψα ἀπὸ θυμοῦ, οὕτως ὠφέλησεν, πόσων κακῶν ῥύεται ἑαυτὸν ὁ μεταδιδοὺς ἐν ἁπλότητι τὰ ἑαυτοῦ ὑπάρχοντα τοῖς χρῄζουσιν.' καὶ τοῦ λοιποῦ οὕτως ἐσωφρόνησεν καὶ ἐγένετο ἄκρος ἐλεήμων, ὡς μηδὲ τοῦ ἰδίου σώματος φείσασθαι αὐτόν. συνέβη γάρ ποτε κατὰ συνήθειαν προσέρχεσθαι αὐτὸν ἀπὸ ἐννύχων εἰς τὸ τελωνεῖον καὶ ἀπαντᾷ αὐτῷ ναύτης ἀπὸ ναυαγίου γυμνὸς ὡς ἐγεννήθη, καὶ προσέπεσεν αὐτῷ δεόμενος σκέπης τυχεῖν. ἐκεῖνος οὖν νομίσας ὅτι πτωχός ἐστιν, ἀποδύεται τὸ ἐσωφόριον αὐτοῦ, ἀναγκαῖον ὑπάρχοντα, καὶ δίδωσιν αὐτὸ παρακαλέσας αὐτὸν ἵνα αὐτὸς αὐτὸ φορέσῃ. ἀπελθὼν δὲ ἐκεῖνος ἐρυθριῶν φορέσαι αὐτὸ ἔδωκεν αὐτὸ εἰς πράτην, ἵνα πραθῇ. καὶ ὡς ἐμίσσευσεν ὁ τελώνης, θεωρεῖ αὐτὸ κρεμάμενον καὶ ἐλυπήθη σφόδρα. καὶ ἀνελθὼν εἰς
294r τὸν | οἶκον αὐτοῦ, οὐδενὸς ἠνέσχετο γεύσασθαι, ἀλλὰ κλείσας

---

1. λίαν fehlt in B. ἐλοιπ. A. 2. εἶτα fehlt in C. 5. βαλλόντων E. αὐτῶν] αὐτὸ B. 6. τελῶνι C. λευχιμ. CE. λευκοφόροι F. 8. τοῦτοι F. 9. ἀλλ' C. 10. νηπιότητος BE. 12. εἷς] ἐπὶ BE. ἔλεγε (νE) BE 13. ἔριψα A. μετὰ θυμοῦ C. 16. ἐλεήμων ἄκρως E. μήτε BEC. ἰδίου αὐτοῦ φείσεσθαι σώμ. C. αὐτόν fehlt in C. 17. ΚΒ B. ὅθεν συνέβη ποτὲ BE. προέρχεσθαι C. 21. σοφόριον A. ὑπάρχοντα E. ὑπάρχων oder ὑπάρχον die andern. καὶ fehlt in C. 22. δίδωσιν αὐτῷ παρακ. αὐτῷ ἵνα αὐτὸς φορέσῃ C. 24. ἐμίσευσεν C. θεωρεῖ] ἴδεν C. 25. Nach κρεμ. fügt C εἰς τὴν ἀγορὰν hinzu, BE ἐπὶ τῆς ἀγορᾶς. ἐλυπήθην C.

τὴν θύραν τοῦ κουβουκλείου αὐτοῦ ἐκαθέζετο κλαίων καὶ λογιζόμενος ὅτι οὐκ ἐγενόμην ἄξιός, φησιν, ἵνα ἔχῃ μου μνημόσυνον ὁ πτωχός. ὡς οὖν ἠθύμει, ἀπενύσταξεν καὶ ἰδοὺ θεωρεῖ τινα εὔοπτον ὡς τὸν ἥλιον φοροῦντα σταυρὸν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ τὸ ἐσωφόριον ὃ ἦν δεδωκὼς τῷ ναύτῃ, ἐπιστάντα καὶ λέγοντα αὐτῷ· 'Τί κλαίεις, κῦρι Πέτρε;' τοῦτο γὰρ ἦν ὄνομα αὐτῷ. ὁ δὲ φησὶν, ὡς πρὸς θεὸν διαλεγόμενος, ὅτι 'Δέσποτα, ἐξ ὧν χορηγεῖς ἡμῖν διδοῦμέν τινι, καὶ εἰς αἰσχροκερδίας λαμβάνουσιν οἱ λαμβάνοντες.' τότε λέγει αὐτῷ· 'Γνωρίζεις τοῦτο;' καὶ δείκνυσιν αὐτῷ ὅτι ἔσωθεν ἐφόρει τὸ ἐσωφόριον αὐτοῦ. λέγει αὐτῷ· 'Ναὶ, δέσποτα.' ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· 'Ἰδοὺ ἐγὼ αὐτὸ φορῶ, ἀφ' ἧς ἔδωκάς μοι αὐτό, καὶ εὐχαριστῶ τῇ προθέσει σου τῇ καλῇ, ὅτι ἐρίγων καὶ ἐσκέπασάς με.' εἰς ἑαυτὸν οὖν ἐλθὼν ἐξεπλάγη καὶ ἤρξατο μακαρίζειν τοὺς πτωχοὺς καὶ λέγειν· 'Ζῇ κύριος. ἐὰν οἱ πτωχοὶ ὁ Χριστός μού ἐστιν, οὐκ ἀποθνήσκω καὶ γένωμαι ὡς εἷς ἐξ αὐτῶν.'

Προσκαλεσάμενος οὖν εὐθεως τὸν νοτάριον αὐτοῦ, ὃν ἦν καὶ ἀγοράσας, λέγει αὐτῷ· 'Μυστήριον θέλω θαρρῆσαί σοι καὶ πίστευσον, ἐὰν ἐξάξῃς αὐτὸ, εἰς βαρβάρους πωλῶ σε ἢ καὶ ἐὰν μὴ ἀκούσῃς μου.' δίδωσιν οὖν αὐτῷ εὐθέως

---

1. θύρα C. 3. ἠθύμει καὶ ὠδύρετο BE. 4. ἰδοὺ] ὑπνώσας BE. 5. τὸ σοφόριον C. ὃ C. 7. αὐτῷ ὄνομα BCE. ὄνομα αὐτῷ A. 8. ὅτι fehlt in BE. δίδομεν BE. 10. τότε fehlt in BE. αὐτῷ ὁ κσ BE. ὅτι — 12. αὐτὸ φορῶ] καὶ λέγει ἀφ' ἧς ἔδωκάς μοι αὐτὸ ἐγὼ αὐτὸ φορῶ A. 11. ὁ δὲ λέγει C. λέγει αὐτῷ BE. 12. φορῶ αὐτὸ E. 14. ἐρίγουν F. ἐσκέπασες C. 16. λέγει E. ὡς ὁ χς C. 17. καὶ προσκαλ. BE. 18. οὖν BE. 19. καὶ ἀγ. ἦν BE. καὶ ὠνητὸν εἶχε C. Hinter θαρρῆσαι σοι hat A: καὶ ἐὰν παρακούσῃς μου, εἰς βάρβαρον ἔθνος ἔχω σε πολλῆσαι καὶ εὐθέως δίδωσιν αὐτῷ κτλ. C: καὶ πίστευσον· ἐὰν ἐξάξῃς με εἰς βαρβάρους πωλῶ σε, εἰ δὲ καὶ εἰσακούσεις μοι, λήψῃ παρ' ἐμοῦ χάριτας καὶ τὴν ἐλευθερίαν σου. τοῦ δὲ ὑπισχνουμένου ποιεῖν τὸ κελευόμενον, δίδωσιν αὐτῷ κτλ. F: πίστευσον. εἰς βαρβάρους πουλῶ σε ἐὰν μὴ ἀκούσῃς μου. εὐθέως οὖν δίδει αὐτῷ κτλ. Ich bin diesmal in der Textconstituirung den Handschriften B und E gefolgt, da sie mit Anastasius übereinstimmen. 20. σε πωλῶ E. 21. εὐθέως fehlt bei An.

δέκα λίτρας χρυσίου καὶ λέγει αὐτῷ· Ὕπαγε, ἀγόρασόν σοι πραγματείαν καὶ λάβε με καὶ ἀπένεγκε εἰς τὴν ἁγίαν πόλιν καὶ πώλησόν μέ τινι χριστιανῷ καὶ τὴν τιμήν μου δὸς πτωχοῖς.' τοῦ δὲ νοταρίου παραιτουμένου καὶ καταπληττομένου, λέγει αὐτῷ πάλιν, ὅτι 'Ἐὰν μὴ πωλήσῃς με, ἐγώ σε πωλῶ εἰς βαρβάρους καθὼς προεῖπόν σοι.' ὑπήκουσεν οὖν αὐτῷ ὁ νοτάριος καὶ καταλαβόντων αὐτῶν τοὺς ἁγίους τόπους εὗρέν τινα φίλον αὐτοῦ γνήσιον ὁ νοτάριος ἀργυροκόπον φυράσαντα. εἰς συντυχίαν οὖν ἐλθόντων ἀμφοτέρων λέγει αὐτῷ ὁ νοτάριος· 'Ἄκουσόν μου, κῦρι Ζωΐλε, καὶ ἀγόρασον ἕνα δοῦλον, ὅτι ἔχω καλὸν, ὅτι λέγει ὁ ἄνθρωπος ὅτι πατρίκιός ἐστιν.' ἀκούσας δὲ ὁ ἀργυροκόπος, ὅτι δοῦλον ἔχει, ἐθαύμασεν καὶ λέγει αὐτῷ· 'Πίστευσον, ὅτι οὐκ εὐ-
294v πορῶ.' λέγει πάλιν αὐτῷ ὁ νοτάριος· 'Δάνεισαι καὶ ἀγόρασον αὐτόν· πολὺ γάρ ἐστιν καλός. καὶ εὐλογῆσαί σε ἔχει ὁ θεὸς δι' αὐτοῦ.' ἐπείσθη οὖν καὶ ἠγόρασεν αὐτὸν ῥυπαροφοροῦντα εἰς νομίσματα τριάκοντα. καὶ καταλιπὼν αὐτὸν ὁ νοτάριος, ἀνεχώρησεν εἰς Κωνσταντινούπολιν, πληροφορήσας αὐτὸν, ὅτι οὐδενὶ θαρρεῖ, ἀλλὰ καὶ ὅτι οὐ νοσφίζεται ἐκ τῆς τιμῆς αὐτοῦ, τοῖς πτωχοῖς δὲ μᾶλλον εὐθέως δίδωσιν.

Ἦν οὖν ἰδέσθαι αὐτὸν ποτὲ μὲν ἐψοῦντα τῷ κυρίῳ αὐτοῦ, ποτὲ δὲ πλύνοντα, καίπερ μηδέποτε ἐν τινὶ τούτων συνειθισμένον. ἐταρίχευσεν δὲ ἑαυτὸν καὶ νηστείᾳ πολλῇ.

---

1. σου C. 2. με fehlt in A. ἀπένεγκαι E. ἀπάγαγέ μοι A. 3. πούλησόν μοι A. 4. τοῦ — 6. ὑπήκουσεν] τοῦ δὲ νοταρίου τὴν τοῦ αὐθέντου μὴ θέλασ πρόσταξιν παρακοῦσαι μάλιστα καὶ διὰ τὴν ὡσ εἴρηται τῆσ πράσεωσ εἰσ βαρβάρουσ ὀργὴν ὑπήκουσεν C. 5. ὅτι ἐὰν μὴ πωλήσησ με (hat A am Rande) ἐγὼ πουλῶ σοι ὅπου εἶπον σοι εἰσ βαρβάρουσ A. ἐὰν μὴ τοῦτο ποιήσησ καὶ BE. σε] σοι F. 10. αὐτὸν C. ζώηλε E. 11. πάνυ καλὸν C. ὅτι λέγει — ἐστὶν fehlt in CBE. 12. Das Wort ἀργυροκόποσ hat der Schreiber von C aus Irrtum zweimal gesetzt. ἔχει δοῦλον B. 13. ὅτι fehlt in C. ἐκπορῶ CF. 14. αὐτῶ πάλιν BE. 16. ῥυπαρο . . . οῦντα hat B wegen eines Lochs im Pergament. ῥυπαροφοῦντα (sic) E. 19. αὐτὸν μεθ' ὅρκου BE. θαρρεῖ ταῦτα BE. ἀλλὰ fehlt in BE. 20. ταῦτα εὐθέωσ E. 21. ἑψοῦντα] ὀψόντα E. 22. αὐτοῦ τὰ ῥάμματα BE. πλύνοντα] πλάττοντα (πλάνοντα E) τοὺς ἄρτουσ καὶ τὰ λοιπὰ ἔργα τοῦ οἴκου ἐκτελοῦντα BE. τούτων] τοιούτω B.

ὡς οὖν εἶδεν ἑαυτὸν εὐλογηθέντα ὁ τούτου δεσπότης ὑπὲρ πᾶσαν εὐλογίαν, λέγει αὐτῷ αἰδούμενος τὴν ἄφατον αὐτοῦ ἀρετὴν καὶ ταπείνωσιν· Θέλω, ταπεινὲ Πέτρε, ἐλευθερῶσαί σε, καὶ ἵνα ἔσῃ τοῦ λοιποῦ ὡς ἀδελφός μου.' ὁ δὲ οὐ κατεδέξατο. ἦν δὲ θεάσασθαι αὐτὸν πολλάκις ὑβριζόμενον καὶ τυπτόμενον ὑπὸ τῶν συνδούλων αὐτοῦ. εἶχον γὰρ αὐτὸν ὡς ἔξηχον, ὥστε καὶ ὄνομα αὐτῷ ἐξενέγκαι ὁ παραπαίων. καθότι οὖν ἔθλιβον αὐτὸν οἱ σύνδουλοι αὐτοῦ καὶ ἐκοιμᾶτο ἐν θλίψει, ἐφαίνετο ὁ φανεὶς αὐτῷ ἐν Ἀφρικῇ φορῶν τὸ ἐσωφόριον αὐτοῦ, κρατῶν καὶ τὰ τριάκοντα νομίσματα ἐν τῇ χειρὶ αὐτοῦ λέγων αὐτῷ· Μηδὲν ἀθυμήσῃς, ἄδελφε Πέτρε. ἐγὼ ἔλαβον καὶ τὴν τιμήν σου. ἀλλ' ὑπόμεινον, ἕως οὗ γνωρισθῇς.' μετὰ οὖν χρόνον τινὰ παρεγένοντο ἀπὸ τῆς χώρας αὐτοῦ τινες ἀργυροπρᾶται ἐπὶ τὸ εὔξασθαι εἰς τοὺς ἁγίους τόπους. καὶ ἐκάλεσεν αὐτοὺς εἰς ἄριστον ὁ δεσπότης τοῦ κυροῦ Πέτρου. καὶ ἐν τῷ παρατίθειν αὐτὸν, εὐθέως ἐκεῖνος ἐγνώρισεν αὐτούς, καὶ αὐτοὶ δὲ ἐν τῷ ἀριστᾶν αὐτοὺς ἤρξαντο χαρακτηρίζεσθαι αὐτὸν καὶ εἰς τὸ οὖς ἀλλήλων λέγειν· Τί ὁμοιοῖ ὁ παῖς οὗτος τῷ κυρῷ Πέτρῳ τῷ τελώνῃ;' ἐκεῖνος δὲ ὑπέκρυβεν, ὅσον ἠδύνατο, τὴν ὄψιν αὐτοῦ. πάλιν οὖν ἐσθιόντων αὐτῶν, ἤρξαντο λέγειν πρὸς τὸν καλέσαντα αὐτούς· Ὄντως νομίζομεν πρᾶγμά σοι ἐβράχη, κῦρι Ζωΐλε. | καὶ γὰρ εἰ μὴ πλανώμεθα, δημόσιον πρόσωπον ἔχεις εἰς ὑπουργίαν σου.' οὐδὲ γὰρ ἐγίνωσκον ἀκριβῶς, ὅτι ἦν ἐκ τοῦ μαγειρείου καὶ τῆς νηστείας ἠλλοιωμένη ἡ

295r

1. ὑπὲρ π. εὐλογίαν] καὶ τὸν οἶκον αὐτοῦ BE. 2. ἄφατον] ἄπασαν C. ἄκραν F. 4. τὸ λοιπὸν C. 5. πολλάκισ fehlt in BE. 6. καὶ τυπτόμενον fehlt in A. δούλων A. 9. ἐφαίν. αὐτῶ BE. 11. καὶ λέγων BE. ῥαθυμήσησ C. 12. ἀλλὰ A. οὗ fehlt in A. 14. εἰς] ἐπὶ CE. 16. παρατιθέναι (παρατίθειν E) αὐτὸν τὰ βρώματα ἐπὶ τῆσ τραπέζησ εὐθέωσ ἐγνώρισεν αὐτοὺσ, ὁμοίωσ δὲ καὶ κτλ. BE. τὰ ἐψητὰ παρατιθέναι τὸν πέτρον εὐθέωσ ἐγνώρισεν αὐτοὺσ καὶ αὐτοὶ κτλ. C. 18. χαρακτηριάζεσθαι A. ἀλλήλοισ C. 19. ὁμοιεῖ CBE. παῖσ] ἄνοσ BE. 21. αἰσθόντων A. πρὸσ τοὺσ (sic) καλέσαντα A. 22. ὄντωσ κύρι ζώϊλε (ζώηλε E) BE. πράγματα B. ἐνβραχὴ A. 23. πλανοῦμεθα F. 24. ἐγίν. αὐτὸν B. 25. ἠλλυομένη C.

ὄψις αὐτοῦ. ἐπὶ πολὺ οὖν κατανοήσαντες αὐτὸν, λέγει εἷς ἐξ αὐτῶν· Οὕτως ὁ κῦρις Πέτρος ἐστὶν καὶ ἐγείρομαι κρατῶ αὐτόν. πάνυ γὰρ ὁ βασιλεὺς ἀκούσας ἐλυπήθη περὶ αὐτοῦ, ὅτι ἄδηλος ἐγένετο.'

Ἔξωθεν οὖν ἱστάμενος ἤκουσεν ταῦτα καὶ θήσας ἐξ ἑαυτοῦ τὸ πινάκιον οὐκ εἰσῆλθεν, ἀλλ' ὠρθοδρόμησεν εἰς τὸν πυλῶνα. ὑπῆρχεν οὖν τῷ ἔχοντι αὐτὸν ὀστιάριος μογγὸς καὶ κωφὸς ἀπὸ γεννήσεως, ὅστις διὰ νεύματος μόνον ἤνοιγεν καὶ ἠσφάλιζεν. σπεύδων οὖν ὁ δοῦλος τοῦ θεοῦ ἐξελθεῖν, λέγει τῷ κωφῷ καὶ μογγῷ· Σοὶ λέγω ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ.' ὁ δὲ εὐθέως ὑπήκουσεν καὶ εἶπεν· Ναὶ, κῦρι.' ὁ δὲ πάλιν πρὸς αὐτόν· Ἄνοιξον.' ἀπεκρίθη πάλιν ἐκ δευτέρου· ἐγὼ, κῦρι.' ἀνέστη οὖν εὐθέως καὶ ἤνοιξεν αὐτῷ, καὶ ἐξελθόντος αὐτοῦ ἀνῆλθεν ὁ θυρωρὸς καὶ ἔκραξεν ἐπὶ πάντων χαίρων καὶ ἀγαλλιώμενος, ὅτι ἤκουσεν καὶ ἐλάλησεν Κῦρι, κῦρι.' πάντων δὲ τῶν τοῦ οἴκου ἐκπλαγέντων, ὅτι ἤκουσαν αὐτοῦ λαλοῦντος, πάλιν φησὶν ὁ ποτὲ ἄλαλος· Ἐκεῖνος ὅπου ἐμαγείρευεν, ἐξῆλθεν τρέχων, ἀλλὰ βλέπετε μήπως φεύγων ἐστίν. μέγας γὰρ δοῦλος τοῦ θεοῦ ὑπάρχει ὅτε γὰρ κατῆλθεν, εἶπέν μοι· Σοὶ λέγω ἐν ὀνόματι κυρίου.' καὶ εὐθέως εἶδον ἐκ τοῦ στόματος αὐτοῦ ἐξελθοῦσαν φλόγα καὶ ἁψαμένην τῶν ὠτίων μου, καὶ εὐθέως ἤκουσα καὶ ἐλάλησα.' καὶ ἀναπηδήσαντες καὶ καταδιώξαντες αὐτὸν ἅπαντες,

---

2. καὶ εἰ θέλετε ἐγείρ. καὶ κρατῶ BE. 3. ἀκούσασ fehlt in A. 5. ἐξ αὐτοῦ B. 6. καὶ παρ' αὐτὰ θήσασ τὸν πίνακα C. ὥρμησεν C. 7. πυλεῶνα A. ὑπῆρχεν οὖν ὁ τότε τοῦ πυλῶνοσ ὀστιάρειοσ ἄλαλοσ καὶ κωφὸσ ἀπὸ γ. C. 9. ἐσφάλιζεν B. 10. μογγῷ] ἀλάλω C. σοὶ] σὺ AC. ἐν τῷ ὀνόματι A. 11. ιῦ fehlt in BE. ἐπήκουσεν A. 12. κύριε BE. πάλιν ὁ μογγὸς BE. mutus et surdus An. πάλιν ὁ κωφὸσ καὶ ἄλαλοσ καὶ εἶπεν· ἐγὼ C. 13. ἀνέστ .... εὐθέωσ hat B, weil das Pergament ein Loch hat. 14. αὐτὸν A. ἀνέκραξεν C. ἔκραξεν BE. 15. χαιρόμενοσ AE. καὶ ἀγαλλιῶν A. 16. καὶ πάντων δὲ C. 17. λαλοῦντοσ εἶπε ὁ ποτὲ ἄλαλοσ καὶ κωφὸσ C. 19. ἀλλ' εἰ καὶ φεύγων ἐξῆλθεν, μέγασ δοῦλοσ τοῦ θῦ ἐστιν C. 20. λέγει A. ιῦ χῦ BE. 21. φλόγα πυρὸσ BE. 22. καὶ ἁψαμένη C. μου καὶ τῆσ γλώττησ μου BE. εὐθέωσ] παραχρῆμα BE. 23. τότε ἀναπ. BE.

οὐκέτι εἶδον αὐτόν. τότε μετενόουν καὶ ἐκόπτοντο ἅπαντες οἱ τοῦ οἴκου καὶ αὐτὸς ὁ κύριος αὐτοῦ τὸ ἐν ποίᾳ ἀτιμίᾳ εἶχον αὐτὸν καὶ μάλιστα οἱ κράζοντες αὐτόν· Ὁ παραπαίων.' ταῦτα τοῦ μακαριωτάτου καὶ θεοτιμήτου Ἰωάννου τοῦ πατριάρχου τὰ διηγήματα.

Οὐ μόνον γὰρ ἐκ τοῦ ἑαυτοῦ βίου ἱκανὸς ἦν καὶ τὸν μὴ θέλοντα ὠφεληθῆναι οἰκοδομῆσαι, ἀλλὰ καὶ ἐκ τῶν θεαρέστων αὐτοῦ καὶ ἀψευδῶν διηγημάτων. καὶ ἔλεγεν ἀεὶ τοῖς ταῦτα ἀκούουσιν· 'εἰ τοῦ | ἰδίου αἵματος οὐκ ἐφεί- 295v
σαντό τινες τῶν ἀνθρώπων, ἀλλὰ καὶ αὐτὸ ἔδωκαν εἰς χεῖρας τῶν ἀδελφῶν, μᾶλλον δὲ τοῦ Χριστοῦ, πῶς ἄρα ἡμεῖς μετὰ προθυμίας καὶ ταπεινώσεως ὀφείλομεν κἂν ἐκ τῶν ὑπαρχόντων ἡμῖν διδόναι τῷ Χριστῷ, ἤγουν τοῖς πτωχοῖς καὶ πένησιν, ἵνα τὴν ἀντιμισθίαν λάβωμεν παρὰ τοῦ δικαίου μισθαποδότου θεοῦ ἐν ἐκείνῃ τῇ φοβερᾷ καὶ φρικτῇ τῆς ἀνταποδόσεως ἡμέρᾳ, ὥστε οὖν ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει καὶ ὁ σπείρας ἐν εὐλογίαις, τουτέστιν δαψιλῶς καὶ μεγαλοψύχως, πολυπλειόνως καὶ θερίσει, τουτέστιν τὰ ἀγαθὰ ἐκεῖνα κληρονομήσει τὰ πᾶσαν διάνοιαν ὑπερβαίνοντα.'

1. τότε] ὅθεν BE. τότε οὖν ἐκόπτοντο ἅπ. τοῦ οἴκου καὶ ὁ κύριος αὐτῶν C. 4. θεοτιμήτου] ἁγιωτάτου A. 6. βίου fehlt in C. 7. θέλοντα ὀφέλοντα οἰκοδ. E. οἰκοδομ. ὠφεληθῆναι A. 8. καὶ fehlt in C. 9. σώματος BE. ἐφήσαντο A. 11. τῷ ἀδελφῷ C. τῷ χῷ C. ἄρα] γὰρ C. 12. πάσης προθ. BE. οὐκ ὀφειλ. C. κἂν] καὶ BE. 13. ὑμῖν A. τοῖς πένησιν CB. 16. Bei der Textconstituirung habe ich mich in der Hauptsache an Codex A angeschlossen; allein da er nach den Worten ἐν εὐλογίαις fortfährt: ἐν εὐλογίαις καὶ θερίσει, scheint im Folgenden die Lesart der übrigen Handschriften vorzuziehen zu sein. Denn ebenso liest auch Anastasius: 'Qui nunc seminat parce, parce et metet: et qui seminat in benedictionibus, id est largo et magnanimiter, multipliciter et metet, hoc est, bona illa etc.' ὅτε ὁ νῦν σπείρας φ., φ. καὶ θερίσει καὶ ὁ σπείρας νῦν ἐπ' εὐλογίαις, τουτέστιν δαψιλῶς καὶ μεγαλοψύχως πολυπλειόνως καὶ θερίσει τουτέστιν τὰ ἀγαθὰ κτλ. B. ὅτε ὁ νῦν σπείρας φ., φ. καὶ θερίσει καὶ ὁ σπείρων νῦν ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει· τουτέστι δαψιλῶς καὶ μεγαλοψύχως τὰ ἀγαθὰ ἐκεῖνα κτλ. E. ὅτι ὁ νῦν σπείρας φειδομένος, φειδομένος καὶ θερίσει καὶ ὁ σπείρας ἐπ' εὐλογίαις, τουτέστιν δαψ. καὶ μεγ. πολυπλείονας καὶ θερίσει· τουτέστιν τὰ ἀγαθὰ κτλ. C.

Cap. XXIII. *Πᾶσιν μὲν οὖν τοῖς κατορθώμασιν κεκοσμημένος ὑπάρχων ὁ ὅσιος, οὐδὲ τούτου ἀπελείπετο. πάνυ γὰρ ἠγάπα τὸ ἐντυγχάνειν τοῖς βίοις τῶν ἁγίων πατέρων, καὶ μάλιστα τῶν τὴν ἐλεημοσύνην ἀσκησάντων. ὅθεν ἐν μιᾷ ἐντυχὼν τῷ βίῳ τοῦ ἁγίου Σεραπίωνος τοῦ ἐπικληθέντος Σινδονίου καὶ εὑρὼν 'αὐτὸν ἐν μιᾷ', φησίν, 'τὸ περιβόλαιον αὐτοῦ δεδωκότα τῷ πτωχῷ καὶ πάλιν παρεκεῖ ἀπελθόντα καὶ τῷ ῥιγῶντι συναντήσαντι κἀκείνῳ τὸ στιχάριον αὐτοῦ παρασχόντα, καὶ ὅτι γυμνὸς ἐκαθέζετο κρατῶν τὸ ἅγιον εὐαγγέλιον, καὶ ἐρωτηθεὶς ὑπό τινος· 'Τίς σε ἀπέδυσεν, ἀββᾶ;' ὑποδείξας τὸ εὐαγγέλιον, φησίν· 'Οὗτος.' καὶ 'ἄλλοτε αὐτὸ τὸ ἅγιον εὐαγγέλιον πωλήσαντα καὶ δεδωκότα ἐλεημοσύνην, καὶ τοῦ μαθητοῦ αὐτοῦ εἰρηκότος πρὸς αὐτόν· 'Ἀββᾶ, τὸ εὐαγγέλιον ποῦ ἐστιν;' κἀκείνου εἰπόντος πρὸς αὐτὸν, ὅτι 'Πίστευσον, τέκνον, αὐτὸ τὸ λέγον μοι· Πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, αὐτὸ ἐπώλησα καὶ ἔδωκα αὐτοῖς, ἵνα ἐν ἡμέρᾳ κρίσεως ἔχωμεν περισσοτέραν παρρησίαν πρὸς θεόν.' καὶ ὅτι 'ἄλλοτε πάλιν χήρα γυνὴ αἰτήσασα τὸν αὐτὸν ἅγιον Σεραπίωνα ἐλεημοσύνην, ὅτι ἐπείνων τὰ τέκνα αὐτῆς, καὶ μὴ ἔχοντος αὐτοῦ τίποτε τὸ σύνολον δοῦναι αὐτῇ, ἐποίησεν αὐτὴν πωλῆσαι αὐτὸν εἰς μίμους Ἕλληνας ὑπάρχοντας, οὓς καὶ χριστιανοὺς ἐποίησεν ἐν ὀλίγαις ἡμέραις.' ταῦτα ἀναγνοὺς ὁ ὅσιος περὶ τούτου*

296r

---

1. ΚΓ CB. *τοῖσ τιμίοισ καὶ ἀγαθοῖσ κατορθ.* B. *τοῖσ τιμίοισ κατορθ.* E. 2. *τοῦτο* C. 3. *τοῦ ἐντ.* E. 5. *τὸν βίον* C. *σεραπίου* F. 6. *ἐν μιᾷ*] *ἐμιὰ* F. 7. *δεδωκάτα* (sic) *τὸ περιβόλεον αὐτοῦ* F. 8. *ἀπελθόντι* E. *ἀπελθώτα* (sic) F. *τῷ*] *τινὶ* B. *ῥιγώντι* E. *ῥιγοῦντι* F. *συναντήσασ* C. *στηχάριον* B. 9. *παρασχὼν* C. 10. *τὸ τίσ σε* E. 11. *ἅγιον* fügen CBE hinzu. 12. *ἅγιον* lassen B und An. weg. *πολήσασ καὶ δεδωκὼσ ἐλ.* F. *πολίσασ καὶ εἰσ ἐλεημοσύνην καὶ αὐτὸ παρασχὼν* C. 14. *κακεῖνοσ εἶπεν* C. *ἀπεκρίνατο* BE. *κἀκείνου εἰπόντοσ* AF. 15. *αὐτῷ τῷ λέγοντι* C. Matth. XIX 21. 16. *αὐτὸν* C. 17. *παρρ. περισσ.* CBE. *ὅτι* AE. *ὅτε* CB. 19. *αἰτήσατο* F. *σαραπίωνα* C. 20. *ἐπείνουν* C. *ἐπίνουν* F. *τὸ σύνολον τίποτε* E. *τίποτε*] *πόθεν* A. 22. *μίμουσ*] *ὠμοὺσ* C. 23. *ὁ ὅσιοσ καὶ τίμιοσ ἰωάννησ ὁ πατριάρχησ* BE.

τοῦ ἁγίου Σεραπίωνος ἐκπληττόμενος καὶ θαυμάζων τὴν τοῦ ἁγίου ἀρετήν, ὅλος σύνδακρυς γενόμενος, προσκαλεσάμενος ἅπαντας τοὺς ἰδίους διοικητὰς, ἀνέγνω καὶ αὐτοῖς πάντα τὰ κατὰ τὸν ἅγιον Σεραπίωνα καὶ λέγει πρὸς αὐτούς· 'Βαβαὶ, ὦ φιλόχριστοι, τί ὠφελεῖται ἄνθρωπος ἐντυγχάνων τοῖς βίοις τῶν ἁγίων πατέρων. πιστεύσατέ μοι ὅτι μέχρι τῆς σήμερον ἐνόμιζον, ὅτι κἂν τίποτε ποιῶ, δίδων τὰ ἐμπίπτοντά μοι χρήματα. οὐκ ᾔδειν δὲ ὅτι καὶ ἑαυτοὺς ἐπίπρασκόν τινες, συμπαθείᾳ νικηθέντες.'

Cap. XXIV. Ὑπερετίμα μὲν ἀεὶ τὸ μοναχικὸν σχῆμα ὁ ἅγιος καὶ ἐσέβετο καὶ συνέπασχεν, ὅπου μάλιστα ἔβλεπεν μοναχὸν εἰς τὰς σωματικὰς χρείας στενούμενον. εἶχεν δὲ καὶ τοῦτο ὑπὲρ πολλοὺς ἐξαίρετον, ὅτι κατηγορίαν τὴν οἱανοῦν ἢ ψευδῆ ἢ ἀληθῆ οὐκ ἐδέχετο κατά τινος περιβεβλημένου τὸ μοναχικὸν σχῆμα. ἅπαξ γὰρ συνέβη αὐτὸν ἐξ ὑποβολῆς τινων διαβόλων παθεῖν τι τοιοῦτον. τινὸς μοναχοῦ γυρεύοντος ἐν τῇ πόλει μετὰ μιᾶς κόρης νεωτέρας, καὶ ἐπαιτοῦντος ἐλεημοσύνην ἐπὶ ἡμέρας τινὰς, τινὲς τῶν τούτους θεωρησάντων σκανδαλισθέντες καὶ νομίσαντες ὅτι γυνὴ αὐτοῦ ἐστιν, προσανήνεγκαν τῷ πάπᾳ κατ' αὐτοῦ ἐγκλήσεις, 'διότι', φησὶν, 'θεοτίμητε, κωμῳδεῖ τὸ ἰσάγγελον τοῦ μοναχικοῦ βίου σχῆμα, κόρην τινὰ ἔχων εἰς γυναῖκα'; εὐθέως οὖν ὁ τοῦ θεοῦ θεράπων ὡς νομίζων κωλύειν τὰ πρὸς θεὸν ἁμαρτήματα, ὡς εἰς τοῦτο ὑπ' αὐτοῦ προχειρισθεὶς, ἐπέτρεψεν τὴν μὲν γυναῖκα πτερνισθῆναι ἐξ αὐτοῦ

---

1. τοῦ ἁγίου τούτου BCE. σαραπ. C. ἐκπληττόμενος fehlt in BE. θαυμάσας BE. 2. ὅλως C. 3. διοικ. ἅπαντας E. καὶ fehlt in BE. 4. λέγει αὐτοῖς B. οὗτος ἄνος A. 6. ἁγίων fehlt in A. μοι fehlt in C. 7. ἐνόμιζον fehlt in C. κἂν fehlt in BE. μέγα ποιῶ BE. διδοὺς B. 9. εἰς συμπάθειαν κινηθέντες C. συμπαθεία κεινηθέντες F. An. falsch: quadam (= τινὶ) compassione superati.

10. ΚΔ CB. μὲν fehlt in A. 11. ἅγιος A. ὅσιος BEC. 14. κατὰ νοῦν περιβ. A. 16. ἐπιβολῆς B. ἐπιβουλῆς E. τοσοῦτον C. 18. ἀπαιτ. A. τινὲς τοῦτο θεωρήσαντες καὶ C. 21. διότι ACE. δια τί B. propter quid An. 25. πτερνισθῆναι καὶ χωρ. ἐξ αὐτοῦ

καὶ χωρισθῆναι, αὐτὸν δὲ τυπτηθῆναι καὶ εἰς φυλακὴν ἰδιάζουσαν ἀποκλεισθῆναι. ὡς οὖν διὰ πάσης συντομίας ἡ κέλευσις τοῦ ὁσίου εἰς ἔργον προήχθη, φαίνεται αὐτῷ τῇ νυκτὶ κατὰ τοὺς ὕπνους ὁ μοναχὸς, δεικνύων αὐτῷ τὸν νῶτον αὐτοῦ ὅλον σεσημμένον — ὑπῆρχον γὰρ ἀφειδῶς δήραντες αὐτὸν οἱ ἐκκλησιέκδικοι — λέγων αὐτῷ· Οὕτως ἀρέσκει σοι, κῦρι ὁ πάπας, πίστευσον, τὴν μίαν σου ἐπλανήθης ὡς ἄνθρωπος.' καὶ ταῦτα εἰπὼν αὐτῷ, ἀνεχώρησεν | 296v ἀπ' αὐτοῦ.

Πρωΐας δὲ γενομένης ἀνεμνήσθη ὁ μακάριος τὸ ὄναρ τῆς νυκτὸς, καὶ ἐκαθέζετο ἐπὶ τοῦ κλιναρίου αὐτοῦ σύννους. πέμπει οὖν εὐθέως καὶ μεταστέλλεται διὰ τοῦ συγκέλλου αὐτοῦ τὸν μοναχὸν ἐκ τοῦ τόπου οὗ ἦν ἀποκεκλεισμένος, ἐννοῶν εἰς ἑαυτὸν ὁ μακάριος, ἐὰν ὅμοιός ἐστι τῷ ὀφθέντι αὐτῷ ἐν τῇ νυκτί. ὡς οὖν ἦλθεν μετὰ κόπου πολλοῦ — οὐ γὰρ ἠδύνατο κινηθῆναι ἐκ τῶν ἀφορήτων πληγῶν —, ἡνίκα τὸ πρόσωπον αὐτοῦ ἐθεάσατο ὁ πάπας, ἔμεινεν ἄφωνος, ἀκίνητος, σύννους, μὴ δυνάμενος φθέγξασθαι. μόνον δὲ τῇ χειρὶ αὐτοῦ ἔνευσεν καθεσθῆναι αὐτὸν πλησίον αὐτοῦ ἐν τῷ χαλαδρίῳ αὐτοῦ. εἰς ἑαυτὸν οὖν γενόμενος καὶ κατασφραγισάμενος, παρεκάλεσεν τὸν μοναχὸν, περιζωσάμενόν τι, ἀποδύσασθαι ἀνερυθριάστως, ὅπως ἴδῃ τὸν νῶτον αὐτοῦ, εἰ οὕτως ἐστὶν, ὡς καὶ ἐν τοῖς ὕπνοις ἐθεάσατο· μόλις οὖν πεισθεὶς τοῦτο ποιῆσαι περιζωσάμενος τὸ οἰκεῖον περιβόλαιον, ἤρξατο ἀποδύεσθαι. ὡς οὖν ἀπεδύσατο δεῖξαι τὸν ἑαύτοῦ νῶτον τῷ ὁσίῳ, ἐκ παραδόξου βουλῆς τοῦ θεοῦ

BE. πτερνισθῆναι καὶ εἰσ φυλακὴν ἰδιάζουσαν ἀποκλεισθῆναι, τὸν δὲ μοναχὸν τυφθῆναι καὶ αὐτὸν καὶ τῇ εἱρκτῇ παραδοῦναι C. 2. πολλῆσ BE. 3. εἰσ fehlt in E. τῇ νυκτὶ fehlt in A. 5. σεσημμένον CE. σεσημένων AB. σεσιμμένον F. καὶ γὰρ ἀφ. ἔδηραν αὐτὸν οἱ κλησιέκδικοι C. 6. ἐκλησιοέκδικοι F. ἐκλησέκδικοι E. λέγων αὐτῷ] λέγοντα C. 9. ἀπ' αὐτοῦ fehlt in A. 10. δὲ] οὖν C. fehlt in B. 11. τῆσ κλίνησ E. σύνουσ EC. 12. συγκέλου A. 13. ἐκ τῆσ φυλακῆσ, λέγων ἐν ἑαυτῷ ὁ μ. C. 16. ἐκείνων πληγῶν A. 17. ἡν. οὖν A. δὲ C. fehlt in BE. ἄφωνοσ καὶ B. 18. σύνουσ fehlt in BE. μηδ' ὅλωσ B. φθέγξαι A. 19. ἔνευεν E. αὐτὸν fehlt in E. 20. χαραδρίω E.

ἐλύθη ὅπερ περιεξώσατο περιβόλαιον καὶ ἔπεσεν χαμαὶ, καὶ πάντες ἐθεάσαντο αὐτὸν εὐνοῦχον εἶναι· ἀλλὰ διὰ τὸ νέον ὑπάρχειν αὐτὸν οὐδενὶ ἦν τοῦτο κατάδηλον. Θεασαμένων οὖν αὐτὸν ἁπάντων καὶ τοῦ ὁσίου ἀρχιερέως καὶ μάλιστα τοὺς τοῦ νώτου αὐτοῦ ὀλεθρίους αἰκισμοὺς, πέμψας εὐθέως, τοὺς μὲν τοῦτον ἀπερισκέπτως λοιδορήσαντας ἠφόρισεν, τῷ δὲ εὐλαβεστάτῳ μοναχῷ πλεῖστα ἀπελογεῖτο, ἐν ἀγνοίᾳ λέγων εἰς αὐτὸν ἁμαρτῆσαι καὶ εἰς Θεόν· πλὴν καὶ τοῦτο παρῄνει ὁ δίκαιος· 'Μὴ οὕτως,' φησὶν, 'ὦ τέκνον, ἀπαραφυλάκτως ἐν ταῖς πόλεσιν διάγειν τοὺς τὸ ἅγιον καὶ ἀγγελικὸν καθ' ὑμᾶς ἔνδυμα περιβεβλημένους, μάλιστα δὲ καὶ γυναῖκα περιφέρειν ἐπὶ σκανδάλῳ τῶν θεωρούντων.' τότε ὁ μοναχὸς μετὰ πολλῆς ταπεινώσεως ἀπελογεῖτο τῷ ὁσίῳ λέγων· 'Πίστευσον, δέσποτα, οὐ ψεύδομαι· ἐν Γάζῃ ἥμην πρὸ τῶν ὀλίγων τούτων ἡμερῶν, καὶ ἐξερχομένου μου ἐκ τῆς πόλεως ἐπὶ τὸ ἐλθεῖν | καὶ προσκυνῆσαι τὸν ἅγιον ἀββᾶ 297r
Κῦρον, ἀπαντᾷ μοι αὐτὴ ἡ καλῶς βραχεῖσά μοι κόρη ἔξωθεν τῆς πόλεως, ἑσπέρας οὔσης λοιπὸν, καὶ προσδραμοῦσα τοῖς ποσίν μου, παρεκάλει συνοδεῦσαί μοι· ἔλεγεν γὰρ ἑαυτὴν Ἑβραίαν εἶναι καὶ θέλειν γενέσθαι χριστιανήν. καὶ ἤρξατο κατακρίνειν με λόγοις φρικτοῖς, ἵνα μὴ ἀφῶ ἀπολέσθαι αὐτήν. φοβηθεὶς οὖν ἐγὼ τὸ κρῖμα τοῦ Θεοῦ, ἔλαβον αὐτὴν, νομίζων ὅτι οὐ πέμπει πειρασμὸν ὁ σατανᾶς τοῖς εὐνούχοις. οὐκ ᾔδειν δὲ, ὅτι οὐδενὸς φείδεται. ἐλθόντων οὖν ἡμῶν, ἁγιώτατε, καὶ τὴν εὐχὴν πληρωσάντων, ἐβάπτισα αὐτὴν εἰς τὸν ἅγιον ἀββᾶ Κῦρον. καὶ ἐγύρευον μετ' αὐτῆς ἐν ἁπλῇ καρδίᾳ ἐπαιτῶν ὀλίγην δαπάνην, ἵνα βάλω αὐτὴν

2. εἶναι] ὄντα E. τὸν νέον A. 3. οὐκ ἦν C. 5. πέμπει BE. 6. καὶ τοὺς B. 7. ἀπελογήσατο BE. 8. ἑαυτὸν BE. ἁμαρτηκέναι F. 9. ἐπαρῄνει C. οὕτω BE. 10. πολέσει E. 12. γυναῖκας BE. σκανδάλων A. 13. τῆς ταπ. C. 15. πρὸ ὀλίγων τούτων τῶν ἡμ. C. 16. ἐπὶ] πρὸς BE. ἀβὰ C. ἀβάκυρον καὶ ῶ F. 19. παρεκάλει — μοι fehlt in A. 21. κατακρίνειν μοι A. λόγοις] ὅρκοις A. 23. πειρασμοὺς A. τοὺς εὐνούχους A. 24. εἶδην A. ὅθεν ἐλθόντων ἡμῶν BE. 25. ἁγιώτατε fehlt in A. ἁγ. ἐνθάδε BE. τὰς εὐχὰς C. πληρώσαντες ἐν αὐτῇ C. 26. ἀβὰ C. γυρεύων E.

εἰς μοναστήριον.' ὡς ταῦτα οὖν ἤκουσεν ὁ πατριάρχης, εἶπεν· 'Βαβαὶ, πόσους κρυπτοὺς δούλους ἔχει ὁ θεὸς καὶ οὐκ οἴδαμεν ἡμεῖς οἱ ταπεινοὶ,' καὶ ἐξηγήσατο τοῖς παροῦσιν τὸ ὅραμα, ὃ εἶδεν τῇ νυκτὶ περὶ αὐτοῦ, καὶ ἐξενέγκας ὁ πάπας ἑκατὸν νομίσματα ἀπὸ χειρὸς, ἐδίδου αὐτῷ. ὁ δὲ θεοφιλὴς ἐκεῖνος ὄντως μοναχὸς οὐκ ἠνέσχετο λαβεῖν τι ἐξ αὐτῶν ἀξιομνημόνευτον, πρὸς τὸν πάπαν ἀποφθεγξάμενος λόγον, εἰπών· 'Ἐγὼ τούτων οὐ δέομαι, δέσποτα. ὁ γὰρ μοναχὸς, ἐὰν πίστιν ἔχῃ, τούτων οὐ χρήζει. εἰ δὲ τούτων χρήζει, πίστιν οὐκ ἔχει.' ὅπερ μάλιστα πλειόνως ἐπληροφόρησεν ἅπαντας τοὺς ἀκούοντας, ὅτι δοῦλος θεοῦ ὑπάρχει. βαλὼν οὖν μετάνοιαν τῷ πάπᾳ, ἐξῆλθεν ἐν εἰρήνῃ· ἔκτοτε οὖν ἐκ περισσοῦ ἐτίμα καὶ ἐφιλοξένει τοὺς μοναχοὺς καὶ τοὺς καλοὺς καὶ τοὺς νομιζομένους εἶναι κακοὺς, καὶ ἔκτισεν εὐθέως ξενίαν ἰδιαζόντως καὶ ἐκάλεσεν αὐτὴν πανδέκτην τῶν μοναχῶν.

Cap. XXV. Θανατικοῦ ποτε τὴν πόλιν καταλαβόντος, ἀπήρχετο καὶ αὐτὸς ὁ δίκαιος πρὸς τὴν τῶν ἐξοδίων θεωρίαν. πάνυ γὰρ ἔλεγεν τοῦτο εἶναι ὠφέλιμον καὶ τὴν τῶν τάφων κατανόησιν. πολλάκις δὲ καὶ ψυχομαχοῦσίν τισιν
297v παρεκάθητο καὶ αὐτὸς τούτους ἰδίαις χερσὶν ἐκάμμυεν, μνήμην ἔχειν ἐκ τούτου διηνεκῆ βουλόμενος καὶ φροντίδα τῆς ἰδίας ἐξόδου, ἐπέτρεψεν δὲ καὶ τὰς συνάξεις ὑπὲρ τῶν τελευτώντων ἀόκνως καὶ ἀδιστάκτως ἐπιτελεῖσθαι. καὶ γὰρ ἔλεγεν ὅτι 'πρὸ ὀλίγου χρόνου ᾐχμαλωτεύθη τις εἰς τοὺς Πέρσας, καὶ κατελθὼν εἰς Περσίδα, ἀπεκλείσθη εἰς τὴν

---

1. οὖν ταῦτα BE. 4. ἐν τῇ ν. A. καὶ] τότε BE. 5. ρ´ ν̊ ν̊ F νομ. ἑκατὸν BE. ἐδείδει αὐτὸν ἀπὸ χειρῶσ F. 6. ὄντωσ ἐκεῖνοσ E. 7. πάππαν C. 8. καὶ εἰπὼν BE. 10. ὅπερ μαλ.] τότε C. 11. πάντασ BE. ἀκούσαντασ E. τέλειοσ ὑπ. δοῦλοσ (τοῦ E) θῦ BE. 13. ὑπερ περισοῦ C. ὑπερ ἐκ περι(σE)σοῦ BE. 15. ὅθεν εὐθ. ἔκτισεν BE.

17. ΚΕ CB. 18. τῶν fehlt in A. 20. ἡ — κατανόησισ C. 21. ἐκάμοιεν C. 22. διηνεκὴ ἐκ τούτου C. 25. ᾐχμαλωτίσθη BE.

φυλακὴν τὴν καλουμένην Λήθην. τινὲς οὖν ἐκφυγόντες ἐκεῖθεν καὶ κατελθόντες ἐν Κύπρῳ καὶ ἐρωτηθέντες ὑπὸ τῶν γονέων αὐτοῦ, εἰ ἄρα εἶδον αὐτὸν, ἀποκριθέντες εἶπον αὐτοῖς, ὅτι ἡμεῖς ταῖς οἰκείαις χερσὶν ἐθάψαμεν αὐτόν. οὐκ ἦν δὲ οὗτος περὶ οὗ ἠρώτων αὐτοὺς, ἀλλ' ἄλλος ὁμοιῶν αὐτῷ ἀπαραλλάκτως. εἶπον οὖν αὐτοῖς καὶ τὸν μῆνα καὶ τὴν ἡμέραν τῆς αὐτοῦ τελευτῆς. ἐκεῖνοι οὖν ὡς ἐπὶ νεκρῷ ἐποίουν αὐτῷ τρεῖς συνάξεις κατ' ἐνιαυτόν. μετὰ οὖν τέσσαρα ἔτη ἦλθεν ἐν Κύπρῳ φυγὼν ἐκ τῶν Περσῶν. εἶπον οὖν αὐτῷ οἱ ἴδιοι αὐτοῦ· Ὄντως, ἄδελφε, ἡμεῖς ἠκούσαμεν ὅτι ἀπέθανες καὶ τὰς μνείας σου ἐποιοῦμεν τρίτον τοῦ ἐνιαυτοῦ.' ὡς οὖν ἤκουσεν, ὅτι τρίτον τοῦ ἐνιαυτοῦ ἐποίουν ὑπὲρ αὐτοῦ, ἠρώτησεν αὐτοὺς, τὸ ἐν ποίῳ μηνὶ καὶ ἡμέρᾳ ταῦτα ἐπετέλουν, καὶ ἐκείνων εἰρηκότων, ὅτι τοῖς ἁγίοις θεοφανίοις καὶ τῇ ἁγίᾳ κυριακῇ καὶ τῇ ἁγίᾳ πεντηκοστῇ, εἶπεν αὐτοῖς, ὅτι 'τὰς τρεῖς ταύτας ἑορτὰς τοῦ ἐνιαυτοῦ ἤρχετό τις λευκοφόρος, ὡς ὁ ἥλιος, καὶ ἀπέλυσέν με ἀοράτως ἐκ τῶν σιδήρων καὶ τῆς φυλακῆς καὶ διεκίνουν ὅλην τὴν ἡμέραν, καὶ οὐδεὶς ἐγνώριζέ με. καὶ τῇ ἐπαύριον πάλιν ηὑρισκόμην φορῶν τὰ σιδηρᾶ.' ἔλεγεν οὖν ὁ ὅσιος, ὅτι 'καὶ ἐκ τούτου μανθάνομεν ἔχειν ἄνεσιν τοὺς κοιμηθέντας ἐξ ὧν ὑπὲρ αὐτῶν ποιοῦμεν συνάξεων.'

---

1. λίθην A. ἐκφυγότεσ A. 2. κατελθόντεσ A. ἐλθόντεσ BC. ἐλθόντεσ ἐκεῖθεν E. εἰσ κύπρον F. 5. ἀλλὰ AE. ὅμοιοσ B. ὁμοιῶν αὐτὸ E. αὐτὸν C. 7. τῆσ τελ. αὐτοῦ E. ὡσ fehlt in E. νεκροῖ corr. in ῶ E. 9. ἦλθεν ἀποδρὰσ τοῖσ πέρσαισ ἐν κ. C. 11. μνήμασ BE. 12. τοῦ ἐνιαυτοῦ fehlt in A. ὅτι κατ' ἐνιαυτὸν τρίτον ἐμνημόνευον αὐτὸν C. 13. τῶ ἐμποίω καὶ ποίω μηνὶ ταῦτα ἐπετέλουν A. πότε καὶ ἐν ποίω μηνὶ ταῦτα (ἔλεγον καὶ E) ἐτέλουν BE. ἡρ. αὐ. τὸν μῆνα καὶ τὴν ἡμέραν C. 14. καὶ fehlt in A. ὅτι fehlt in A. τὰ ἅγια θεοφάνια C. 15. πεντικοστῆ A. πεντεκοστὶ C. 16. εἶπεν οὖν A. ἑορτὰσ τοῦ ἐνιαυτοῦ A. temporibus anni An. ἡμέρασ die andern. 17. τισ fehlt in E. λευκ. ἀνὴρ BE. ἀπέλυεν F. ἀπ. με τῶν δεσμῶν E. ἐκ τῶν δεσμῶν καὶ τῆσ F. ἀοράτωσ — φυλακῆσ fehlt in BE. 18. καὶ hinter σιδήρων fehlt in A. διεκείνουν AC. 19. με ἐγνώρ. BE. 20. εὑρισκόμην C. ΚΣ B. καὶ fehlt in BE. 21. ἄνεσιν ἔχειν C.

Cap. XXVI. *Ὅπερ ἐπὶ τῶν πράξεων τῶν ἁγίων ἀποστόλων ἀκούομεν γενόμενον, τοῦτο πολλάκις καὶ εἰς τοῦτον τὸν συμπαθέστατον συνέβαινεν. ὁρῶντες γὰρ πολλοὶ τὴν ἀνένδοτον αὐτοῦ καὶ ἀνεξέταστον πρὸς τοὺς δεομένους συμπάθειαν, ἐκινοῦντο πολλάκις πωλεῖν πολλὰ τῶν προσόντων αὐτοῖς ὑπο-*
298r *στάσεων καὶ φέροντες παρεῖχον τῷ τοῦ θεοῦ εὐγνώμονι ὑπηρέτῃ· ὅθεν καί τις ἐλθὼν ἐν μιᾷ τῶν ἡμερῶν προσέφερεν αὐτῷ ἑπτὰ ἥμισυ λίτρας χρυσίου, πληροφορήσας τὸν ὅσιον μὴ κεκτῆσθαι ἄλλο τι ἐν χρυσῷ. ἠτεῖτο δὲ παρ' αὐτοῦ μετὰ πολλῶν γονυκλισιῶν εὔξασθαι, ἵνα σώσῃ ὁ θεὸς τὸν υἱὸν αὐτοῦ. εἶχεν γὰρ ἕνα μονογενῆ υἱόν, ὡς ἐτῶν δεκαπέντε καὶ ἵνα ἐνέγκῃ τὸ πλοῖον αὐτοῦ μετὰ καλοῦ ἀπὸ Ἀφρικῆς. ἐκεῖ γὰρ ἦν ἀπελθών. λαβὼν τοίνυν ὁ ἱεράρχης τὸ ποσὸν ἐκ τῆς χειρὸς αὐτοῦ καὶ θαυμάσας αὐτὸν οὕτως μεγαλοψυχήσαντα ἐπὶ τῷ προσενέγκαι αὐτῷ ὅλον τὸ ποσόν, ὅπερ ἐκέκτητο, ηὔξατο μὲν αὐτῷ καὶ κατὰ πρόσωπον πολλὰ καὶ οὕτως αὐτὸν ἀπέλυσεν. ὅμως διὰ τὴν πολλὴν αὐτοῦ πίστιν ἔθηκεν ὑπὸ τὴν ἁγίαν τράπεζαν τὸ ἀποκόμβιν τοῦ ποσοῦ ὁ πάπας ἐν τῷ εὐκτηρίῳ τοῦ κουβουκλείου αὐτοῦ καὶ σύναξιν εὐθέως ἐποίησεν τελείαν ἐπάνω αὐτοῦ, ὑπὲρ τοῦ προσενέγκαντος ἐκτενῶς τὸν θεὸν δυσωπήσας σωθῆναι τόν τε υἱὸν αὐτοῦ καὶ τοῦ ἐνέγκαι μετὰ σώσματος τὸ πλοῖον αὐτοῦ, καθὼς ἦν αὐτὸν αἰτησάμενος. μήπω οὖν τριάκοντα παρελθουσῶν ἡμερῶν ἐτελεύτησεν ὁ υἱὸς τοῦ ἀνθρώπου,*

---

1. $K\overline{\varsigma}$ C. 2. *γενόμενον* fehlt in A. 5. *πωλεῖν* fehlt in C. 6. *καὶ* fehlt in C. *εὐγνώμονι* BEC. devoto An. *συγγνώμονι* A. 7. *προσφέρει* C. 8. *πληροφορῶν* BE. *τὸν ὅσιον*] *αὐτὸν* BE. 9. *ἀλλ' ὅτι* C. 10. *γονοκλησιῶν* A. 12. *καὶ ἵνα ἐνέγκει τὸ πλοῖ*: hier bricht F ab, fol. 179v. *ἀπὸ ἀφρ. μετὰ καλοῦ* C. 13. *ἀπελθὼν* AC. *ὁ τίμιος ἱεράρχης* BE. 15. *ἐπὶ τὸ* AE. 16. *ηὔξατο καὶ κατὰ πρόσωπον τῶ ἄνω πολλὰ καὶ ἀπέλυσεν οὕτως εὐξάμενος* C. *καὶ* vor *προσωπ.* fehlt in A. 17. *ἀπελ. αὐτὸν* B. *αὐτὸν* fehlt in E. *διὰ τ. π. σπουδὴν* A. 18. *ἀποκόμβιν* BCE. *ἀποκόμβην* A. 20. *εὐθ. ἐποίησεν σύναξιν τελ.* BE. *σύν. τελείαν εὐθ. ἐποίησεν* C. 21. *τε* fehlt in CBE. 22. *τὸ ἐνέγκ.* C. *σώσματος* C. *σώματος* A. *σῶσας* BE. 23. *αὐτὸν* fehlt in BE. 24. *καὶ ἐτελ.* BE. *τοῦ ἀνθρώπου* fehlt in A.

τοῦ προσενέγκαντος τὰς ἑπτὰ ἥμισυ λίτρας τῷ πατριάρχῃ. καὶ εἰς τὰ τρίτα τοῦ παιδὸς κατέλαβεν καὶ τὸ πλοῖον αὐτοῦ ἀπὸ Ἀφρικῆς, εἰς ὃ ἦν καὶ ἀδελφὸς γνήσιος τοῦ αὐτοῦ ἀνδρὸς πιστικὸς, καὶ ἐλθὼν πλησίον τοῦ Φάρου ἐναυάγησεν καὶ ἀπώλεσεν ὅλον τὸν γόμον, καὶ οὐκ ἐσώθησαν, εἰ μὴ αἱ ψυχαὶ καὶ μόνον καὶ τὸ σκάφος σάβουρον. ὡς οὖν καὶ ταύτην τὴν συμφορὰν ἔμαθεν ἐπελθοῦσαν αὐτῷ ὁ κύριος τοῦ πλοίου καὶ πατὴρ τοῦ παιδίου, κατὰ τὸν τοῦ προφήτου λόγον παρὰ βραχὺ παρῴκησεν τῷ ᾅδῃ ἡ ψυχὴ αὐτοῦ. οὔπω γὰρ τῆς θλίψεως τοῦ υἱοῦ αὐτοῦ κατασβεσθείσης, ἐπικατέλαβεν αὐτὸν καὶ ἡ τοῦ πλοίου. ἀνηνέχθησαν οὖν πάντα τὰ συμβάντα αὐτῷ τῷ πάπᾳ καὶ σχεδὸν πλείω τοῦ παθόντος ἐν λύπῃ διέκειτο μάλιστα διὰ τὸν υἱὸν αὐτοῦ τὸν μονο|γενῆ. μὴ γινώσκων οὖν τί ποιῆσαι, παρακαλεῖ τὸν 298v φιλάνθρωπον θεὸν παραμυθήσασθαι τὸν ἄνδρα τῇ αὐτοῦ ἀπείρῳ εὐσπλαγχνίᾳ· μεταστείλασθαι γὰρ αὐτὸν καὶ παραμυθήσασθαι κατὰ πρόσωπον ὁ ὅσιος ἠρυθρία· πλὴν τοῦτο αὐτῷ ἐδήλωσεν μηδὲν καταπεσεῖν. οὐδὲ γὰρ ἀκρίτως ὁ θεὸς ποιεῖ τίποτε, ἀλλὰ πάντα εἰς τὸ συμφέρον ὃ ἡμεῖς ἀγνοοῦμεν. ἵνα οὖν μὴ ἀπολέσῃ τὸν μισθὸν ὃν ἐποίησεν εἰς τὰς ἑπτὰ ἥμισυ λίτρας καὶ τὴν πίστιν ἥνπερ ἐκέκτητο πρὸς τὸν ὅσιον πατριάρχην, λοιπὸν δὲ ἵνα καὶ ἡμεῖς ἐν τοῖς συμβαίνουσιν ἡμῖν πειρασμοῖς, ὅταν ἀγαθόν τι πράξωμεν, ἀτάραχοι καὶ εὐχάριστοι πρὸς τὸν θεὸν διαμένωμεν, θεωρεῖ κατὰ τοὺς ὕπνους ὁ εἰρημένος φιλόχριστος ἀνὴρ τῇ ἐπιούσῃ νυκτί τινα

1. ἥμισοι A. 2. παιδὸσ αὐτοῦ BE. 5. ὅλον fehlt in B. γόμον αὐτοῦ BE. 6. καὶ μόνον fehlt in C. μόναι BE. 8. παιδὸσ BE. 9. Psalm. XCIII 17. ἄδει C. 10. ἐπεκατέλαβεν AE. κατέλαβεν C. 11. αὐτῶ C. fehlt in A. Hinter πλοίου fügt C συμφορὰ zu. ὅθεν ἀνηνέχ. BE. 12. συμβεβηκότα BE. αὐτῶ fehlt in C. πλεῖον C. 14. ποιήσει BE. παρεκάλει A. 17. κατὰ πρόσωπον fehlt in C. ὁ ἅγιοσ C. ἐρυθρία C. 19. ἐποίει C. 20. οὖν] δὲ BE. μισθὸν αὐτοῦ A. ὃν ἐποί. fehlt in B. ἑπτὰ ἥμισυ λίτρας] ζ ∠ ͵ ͵ E; die beiden Striche über dem Zeichen für ἥμισυ von jüngerer Hand hinzugefügt. ἣν B. 22. δὲ fehlt in C. 24. τὸν fehlt in A. διαμείνωμεν C. διαμένομεν A. 25. ἀνὴρ φιλόχρ. A.

ὡς ἐν σχήματι τοῦ ἁγιωτάτου πατριάρχου, λέγοντα αὐτῷ· 'Τί θλίβῃ, ἄδελφε, καὶ ἀθυμεῖς; οὐχί σύ με παρεκάλεσας αἰτήσασθαι τὸν θεὸν ἵνα σωθῇ ὁ υἱός σου; ἰδοὺ ἐσώθη. πίστευσον εἰ ἔζησεν, ἐξωλέστατος καὶ ἀκάθαρτος ἄνθρωπος ἂν ἐγίνετο, καὶ περὶ τοῦ πλοίου σου ὄντως, εἰ μὴ ὁ θεὸς παρεκλήθη διὰ τὸ ἀγαθὸν ὃ ἐποίησας καὶ διὰ τὴν εὐτέλειάν μου, ἐπεὶ ἀπόφασις ἦν δοθεῖσα ἵνα ὅλον ὡς κεῖται σύμψυχον εἰς τὸν βυθὸν ἀπέλθῃ, καὶ εἶχες ἀπολέσαι καὶ τὸν ἀδελφόν σου· ἀλλὰ ἀνάστα καὶ δόξασον τὸν θεὸν τὸν χαρισάμενόν σοι αὐτὸν καὶ σώσαντα καὶ τὸν υἱόν σου καθαρὸν ἐκ τοῦ ματαίου βίου τούτου.' διυπνισθεὶς οὖν ὁ ἀνὴρ εὗρεν τὴν καρδίαν αὐτοῦ παρακεκλημένην καὶ ἅπασαν αὐτοῦ τὴν λύπην ἐκβεβλημένην, καὶ ἐνδυσάμενος τὰ ἱμάτια αὐτοῦ ἔρχεται δρομαίως πρὸς τὸν τιμιώτατον πατριάρχην καὶ ῥίπτει ἑαυτὸν εἰς τοὺς πόδας αὐτοῦ εὐχαριστῶν τῷ θεῷ καὶ αὐτῷ ἐξηγούμενος καὶ τὸ ὅραμα ὃ ἐθεάσατο. οὗτινος ἀκούσας, ὁ δικαιότατος εἶπεν· 'Δόξα σοί, φιλάνθρωπε ἐλεήμων, ὁ καὶ τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν εἰσακούων.' πάλιν τε καὶ πρὸς τὸν ἄνθρωπον εἶπεν· 'Μηδαμῶς, ὦ τέκνον, τῇ ἐμῇ εὐχῇ ὅλως τὴν χάριν ἐπίγραφε, ἀλλὰ τῷ θεῷ καὶ τῇ πίστει τῇ σῇ. αὕτη γὰρ καὶ τὸ πᾶν ἴσχυσεν.' ἦν γὰρ καὶ πάνυ ταπεινόφρων ὁ ἅγιος καὶ λόγοις καὶ φρονήματι.

Cap. XXVII. Ἀπερχομένου ποτὲ τοῦ μακαρίου τούτου

---

1. ὁσιωτάτου C. fehlt in A. 2. θλίβει A. 5. ἀνοσ (fehlt ἂν) ἐγίνετο A. ἂν ἐγένετο ἀνοσ C. ἀνοσ ἂν ἐγεγόνει B. ἀνοσ ἐγεγόνει E. homo fieret An. ὄντως fehlt in C. εἰ μὴ καὶ ἐπὶ τοῦτο θσ C. 7. ὅλον — σύμψυχον] αὔτανδρον C. σύμψυχα AE. 8. τὸ πλοῖον hinter βυθὸν fügen A und C hinzu. εἶχες ἀπολέσαι τὸ πλοῖον καὶ τὸν ἀδελφόν σου A. καὶ εἶχες ἂν ἅμα καὶ τοὺς σὺν αὐτῷ καὶ τὸν σὸν ἀδελφὸν ἀπολέσαι C. 9. ἀλλ' C. δὸς δόξαν τῷ θῷ τὸν (sic) χαρισάμενόν σοι τὸν σὸν ἀδελφὸν καὶ τοὺς σὺν αὐτῷ πάντας καὶ τὸν σὸν υν ἐκ τοῦ ματαίου τούτου σώσαντα βίου C. 13. ἑαυτοῦ A. δρομαῖος B. 15. αὐτὸν C. 16. ὁ δικ. πατριάρχης E. 17. ὁ ἐλεημ. C. 18. τε καὶ] δὲ BE. 20. ὅλως fehlt in C und bei An. ἐπιγρ. τ. χάρ. C. 21. καὶ nach γὰρ fehlt in C. 22. πάνυ fehlt in C. καὶ λόγ. καὶ φρονήματι A. τῶ τε νῶ καὶ τῶ λόγω C.

23. KZ CB. τούτου πατριάρχου BE.

εἰς ἐπίσκεψιν τῶν πτωχῶν εἰς τὸ λεγόμενον Καισάρειον — ἐκεῖ γὰρ ἦν αὐτοῖς ποιήσας ὡς θόλους τινὰς ἐπιμήκεις, ξυλίνοις πουλπίτοις περιεστρωμένους τὸ ἔδαφος εἰς τὸ ἀναπαύεσθαι αὐτοὺς μετὰ καὶ ψιαθίων καὶ παλλίων διὰ παντὸς τοῦ χειμῶνος — μετά τινος τῶν συνόντων αὐτῷ ἐπισκόπων χρηματιστικοῦ ὄντος, ἀσυμπαθεῖ δὲ τρόπῳ κατεχομένου, φησὶν ὁ μακάριος πάπας πρὸς αὐτόν· 'Φιλοτίμησαι, ἄδελφε Τρωΐλε' — τοῦτο γὰρ αὐτῷ ἦν ὄνομα —, 'τοὺς ἀδελφοὺς τοῦ Χριστοῦ.' μηνύσας γὰρ ἦν αὐτῷ τις, λέγω δὴ τῷ πατριάρχῃ, ὅτιπερ τριάκοντα λίτρας χρυσίου βαστάζῃ ἐν αὐτῇ τῇ ὥρᾳ ὁ σύγκελλος τοῦ αὐτοῦ ἐπισκόπου Τρωΐλου ἐπὶ τὸ ἀγοράσαι σύνθεσιν ἀργυροῦ ἀναγλύφου χάριν τῆς τραπέζης αὐτοῦ. τοῦ δὲ ἐπισκόπου ὥσπερ ἐντραπέντος τὸν λόγον τοῦ πάπα, μᾶλλον δὲ πρὸς ὥραν καὶ θερμοπνοήσαντος, ἀπὸ νομίσματος δοθῆναι πᾶσιν τοῖς καθημένοις ἀδελφοῖς προσέταξεν τῷ τὰς τριάκοντα λίτρας τοῦ χρυσίου βαστάζοντι. ταχέως οὖν ἡ τοιαύτη τοῦ χρυσίου ποσότης προσανηλώθη.

Ἀναχωρησάντων οὖν ἀμφοτέρων τοῦ τε πατριάρχου καὶ τοῦ τὴν ἀκούσιον, ἵνα οὕτως εἴπω, ἐλεημοσύνην πεποιηκότος ἐπισκόπου Τρωΐλου ἐν τοῖς ἰδίοις ἐπισκοπείοις, ὥσπερ τις ἄνους καὶ ψυχοφθόρος αὐτῷ λογισμὸς ἐπέπεσεν τῆς τῶν χρημάτων μεταδόσεως ἕνεκεν, φρίκη τε φιλαργυρίας καὶ ἀσπλαγχνίας καὶ μεταμελείας γέννημα παρείπετο πυρετῷ παρὰ φύσιν συμμεμιγμένη. διὸ καὶ ἐπὶ κλίνην ὁ παρὰ

---

1. κεσάριον A. καισάριον CE. 2. ἦν αὐτὸσ C. αὐτοῖσ ἦν BE. 3. πουλπίτοισ τοῖσ A. 5. μετὰ τινὸσ τοῦ συνόντοσ αὐτῷ ἐπισκόπου BE. μετά τινι τῷ συνόντι αὐτῷ ἐπισκόπῳ C. 6. χρηματικῷ ὄντι AC. κατεχομένῳ AC. ὅθεν ἀπελθόντεσ ἄμφω φησὶν BE. 7. φιλοξένησον C. φιλοτίμησε (sic) E. 8. ἦν αὐτῷ BE. 10. βαστάζει E. σύγκελοσ B. 11. τροΐλου so stets A. oder τροήλου. τῷ B. 15. πᾶσι τοῖσ ἀδ. δοθῆναι A. καθημένοισ fehlt in A und bei An. 16. ταχ. οὖν] ὅθεν ταχ. BE. 17. ποσ. τ. χρυσ. BE. 18. οὖν] δὲ BE. 19. ἵνα — εἴπω fehlt in C. 20. ποιήσαντοσ τοῦ προρηθέντοσ τρωΐλου λέγω τοῦ ἐπισκόπου εὐθὺσ ὥσπερ C. ἐν fehlt in A. 21. ἄννουσ A. ἐπέπ. λογ. C. 22. ἕνεκεν μεταδ. C. 23. γεννήματα BE. πυρετῶ — συμμεμιγμένη fehlt in A. 24. συμμεμιγμένα BE. κλίνησ BE. ὁ fehlt in BE.

γνώμην ἀσθενὴς εὐθέως ἀνέπεσεν. ἑβδομαρίου οὖν ἐκ τοῦ ὁσιωτάτου πάπα πρὸς αὐτὸν καταλαβόντος καὶ ἐπὶ τὴν τράπεζαν αὐτοῦ καλοῦντος αὐτὸν, παρῃτήσατο· ῥιγοπυρετεῖν γὰρ ἑαυτὸν ἐξ αἰτίας τινὸς ἔλεγεν. ὡς οὖν τούτων ἤκουσεν ὁ πάπας, εὐθέως ἐπέγνω τὴν αἰτίαν, ὅτι διὰ τὴν ἔξοδον 299v τῶν τριάκοντα λιτρῶν ἠσθένησεν ὁ ἀκούσιος ἐλεήμων· ἦν γὰρ, ὡς προείρηται, πάνυ ἀσυμπαθὴς καὶ φιλάργυρος. μὴ ἐνέγκας οὖν ὁ μακάριος ἑαυτὸν μὲν ἐπὶ τράπεζαν θεραπεύεσθαι, ἐκεῖνον δὲ ἐπὶ τῆς κλίνης δεινῶς βασανίζεσθαι, καταλαμβάνει ταχέως πρὸς αὐτὸν ὁ ὄντως ἀνυπερήφανος καί φησιν πρὸς αὐτὸν μειδιῶντι τῷ προσώπῳ· Ποίησον ἀγάπην, τέκνον Τρωΐλε, ἔχεις ὅτι ἐν ἀληθείᾳ εἰπόν σοι δοῦναι τοῖς ἀδελφοῖς τὴν τοιαύτην διάδοσιν· πληροφορήθητι, ἐν ἀστειότητι εἰπόν σοι δοῦναι· ἐγὼ γὰρ ἤθελον παρασχεῖν αὐτοῖς ἀπὸ ἑνὸς νομίσματος διὰ τὴν ἁγίαν ἑορτήν. ἀλλὰ διὰ τὸ μὴ ἔχειν τὸν ἐμὸν διαδότην σὺν αὐτῷ τὸ ἐπαρκοῦν ποσὸν, τούτου χάριν προσεδάνεισάς μοι αὐτὸ καὶ ἰδοὺ ἤνεγκά σοι τὰς τριάκοντα λίτρας.' μόνον οὖν εἶδεν τὸ ποσὸν ὁ ἐπίσκοπος ἐν τῇ τιμίᾳ χειρὶ τοῦ σοφοῦ ὄντως ἰατροῦ καὶ ποιμένος, ἐξαίφνης ὁ μὲν πυρετὸς ἠφανίζετο, τὸ δὲ ῥῖγος ὑπεχώρει, αἱ δὲ δυνάμεις καὶ ἡ τοῦ σώματος αὐτοῦ χροιὰ πρὸς ἑαυτὰς ἐπεστρέφοντο, ὡς ἐκ τούτου μὴ δυνηθῆναι λαθεῖν ταύτην εἶναι τὴν αἰτίαν τῆς ἐξαίφνης καταλαβούσης αὐτὸν ἀλλοιώσεως.

Δεξάμενος οὖν τὸ χρυσίον ἐκ τῶν τιμίων χειρῶν τοῦ πάπα, καὶ μηδὲ ὅλως ἀντειπὼν, ἀπῃτεῖτο παρ' αὐτοῦ ἔγγραφον ἐκχώρησιν τοῦ μισθοῦ τῶν διαδοθέντων τριάκοντα

---

1. ἀσθενείασ B. 2. αὐτὸν καλ. τοῦ πάπα B. καλ. τοῦ πάπα (fehlt αὐτὸν) E. 4. αὐτὸν AC. τοῦτο C. 6. τῶν λ̄ λλ̄ E. ἀκουσίωσ A. 7. συμπαθὴσ A. 9. τῆσ fehlt in B. 11. μειδιῶν τῶ πρ. A. 14. ὅτι ἐν ἀστ. E. ἀστιότητι C. ἀστιώτητι A. 15. αὐτοῖς] αὐτοὺσ E. 17. αὐτῶ C. τοῦτο A. 18. ἤγαγον C. λ̄ λλ̄ E. ὡσ μόνον οὖν τ. π. ὁ ἐ. οἶδεν C. 19. σοφοῦ fehlt in B. ὄντωσ σοφοῦ E. 20. καὶ ἐξ. BE. 22. χροὰ A. χρυὰ E. ἐπεστρέφοντο A. ἐπανεστρέφοντο C. ἐπανήρχοντο BE. 27. ἐκχωρήσειν C.

τοῦ χρυσίου λιτρῶν· ἐποίησεν δὲ τοῦτο μετὰ χαρᾶς, γράψας ἰδίαις χερσὶν οὕτως· ‘Ὁ θεὸς τῷ δεσπότῃ μου Ἰωάννῃ τῷ μακαριωτάτῳ πατριάρχῃ ταύτης τῆς Ἀλεξανδρέων μεγαλοπόλεως δὸς τὸν μισθὸν τῶν τριάκοντα λιτρῶν τῶν διαδοθέντων σοι, καθότι ἐγὼ τὰ ἐμὰ ἀπέλαβον.’ τοῦτο οὖν λαβὼν ὁ ὅσιος, συνέλαβεν μεθ’ ἑαυτοῦ καὶ τὸν αὐτὸν ἐπίσκοπον εἰς τὸ ἄριστον. ὡς γὰρ ἤδη εἴρηται, εὐθέως ὑγίανεν. θέλων οὖν ὁ μισθαποδότης θεὸς παιδεῦσαι αὐτὸν, ἅμα δὲ καὶ πρὸς οἶκτον τοῦ ὁμοφύλου καὶ συμπάθειαν διεγεῖραι, δείκνυσιν αὐτῷ τῇ αὐτῇ ἡμέρᾳ καθεύδοντι αὐτῷ ἀπὸ τοῦ ἀρίστου τοῦ πάπα κατ’ ὄναρ, οἷου μισθοῦ ἐστέρηται. ‘Θεωρεῖ | γάρ,’ φησιν, ‘οἶκον οὗ τὸ κάλλος καὶ τὸ μέγεθος οὐ δύναται τέχνη ἀνθρώπων μιμήσασθαι καὶ τὸν πυλῶνα τούτου ὁλόχρυσον καὶ ἐπάνω τοῦ πυλῶνος τίτλον ξύλινον ἐπιγεγραμμένον· ‘Μονὴ αἰωνία καὶ ἀνάπαυσις Τρωΐλου ἐπισκόπου.’ ὡς οὖν τοῦτο ἀνεγίνωσκόν,’ φησιν, ‘περιχαρὴς ἐγενάμην· ἐγίνωσκον γὰρ ἐμοὶ χαρισθῆναι ὑπὸ τοῦ βασιλέως τοῦ τοιούτου οἴκου τὴν ἀπόλαυσιν. οὕπω δὲ σχεδὸν τὴν τοιαύτην τοῦ τίτλου ἐπιγραφὴν ἀναγνῶναι ἔφθασα, καὶ ἰδού τις βασιλικὸς κουβικουλάριος ἔχων σὺν αὐτῷ καί τινας τοῦ ὀψικίου τοῦ θείου καὶ ὡς ἔφθασεν τὸν τοιοῦτον τοῦ φαιδροῦ οἴκου πυλῶνά φησιν πρὸς τοὺς ἰδίους ὑπουργούς· ‘κατενέγκατε τὸν τίτλον.’ καὶ ὡς κατήνεγκαν, πάλιν λέγει· ‘Ἀλλάξατε αὐτὸν καὶ βάλετε ὅπερ ἔπεμψεν ὁ βασιλεὺς τῆς οἰκουμένης,’ καὶ ἐξήνεγκαν καὶ ἔπηξαν ἄλλο, ἐμοῦ θεω-

---

6. αὐτὸν fehlt in B. ἐπίσκ. τρώιλον BE. 7. ὡς — ὑγίανεν fehlt in C. 9. τὸ πρὸσ A. 10. αὐτῷ fehlt in E. 11. κατ’ ὄναρ fehlt in A. ἐσταίρητε A. 13. πυλεῶνα CE. πυλαιῶνα A. 14. αὐτοῦ C. πυλε(αι A)ῶνοσ C. πυλώνοσ E. 17. ἐγενόμην ABE. ὑπελάμβανον BE. ἐνόμιζον C. 19. γραφὴν BE. 21. τοῦ θείου fehlt in C. τοιοῦτον fehlt in C. τὸν τούτου τοῦ φαιδροῦ οἴκου πυλῶνα E. 22. οἴκου ἐκείνου C. πυλεῶνα C. πυλαιῶνα A. ἰδίουσ αὐτοῦ C. 24. ἀλάξατε αὐτὸ C. βάλλετε E. ὃν ἔπεμψεν E. 25. ἐξῆ. αὐτὸν BE. ἔστησαν C. ἄλλο AC. aliud An. ἄλλον BE. ἐμοῦ φησὶ A. Hinter ἄλλο hat C τοιαύτην ἔχον ὑπογραφήν.

ροῦντος ἐπιγεγραμμένον οὕτως· Μονὴ αἰωνία καὶ ἀνάπαυσις Ἰωάννου ἀρχιεπισκόπου Ἀλεξανδρείας, ἀγορασθεῖσα λιτρῶν τριάκοντα.' καὶ ὡς τοῦτο εἶδέν,' φησιν, 'διανέστη ἀπὸ τοῦ ὕπνου καὶ τῷ μεγάλῳ ἀρχιποιμένι τὰ ὁραθέντα αὐτῷ κατὰ τοὺς ὕπνους διηγήσατο.' ὠφεληθεὶς καὶ αὐτὸς ἐκ τῆς ὑποθέσεως, γέγονεν ἔκτοτε ἐλεήμων.

Cap. XXVIII. Ὁ τὸν πλοῦτον τοῦ Ἰὼβ καιρῷ τινι ἀφειλάμενος κύριος ποιεῖ τὸ ὅμοιον καὶ τούτῳ τῷ παναρέτῳ Ἰωάννῃ. τῶν πλοίων γὰρ τῆς κατ' αὐτὸν ἀγιωτάτης ἐκκλησίας λαβόντων βίαιον χειμῶνα κατὰ τὸν λεγόμενον Ἀδρίαν, ἔρριψαν ὅλους τοὺς γόμους αὐτῶν· ὑπῆρχον δὲ τὰ πλοῖα αὐτοῦ πάντα ἐν τῷ ἅμα. ἦν δὲ ἡ ὁλκὴ πολλὴ πάνυ τῶν ἐνθηκῶν αὐτῶν. εἶχον γὰρ ξηρόφορτα ἱμάτια καὶ ἄργυρον καὶ ἕτερα πράγματα ἀνώτερα, ὡς συμψηφισθῆναι τὸν ὄγκον τοῦ ἀπελθόντος εἰς ἀπώλειαν ποσοῦ κεντηναρίων τριάκοντα τεσσάρων. πλεῖον γὰρ ἦσαν τῶν δεκατρίων πλοίων μυριοφόρων. ἐλθόντων οὖν ἐν Ἀλεξανδρείᾳ καὶ ὁρμησάντων, εὐθέως ὅλοι οἱ πιστικοὶ καὶ οἱ προναύκληροι ἐν τῇ ἐκκλησίᾳ
300v προσέφυγον. τοῦ δὲ ὁσίου τοῦτο μαθόντος καὶ τὴν αἰτίαν δι' ἣν προσέφυγον, πέμπει αὐτοῖς λόγον ἰδιόχειρον αὐτοῦ περιέχοντα οὕτως· 'Ὁ κύριος ἔδωκεν, ἀδελφοί, ὁ κύριος, ὡς ἠβουλήθη, καὶ ἀφείλατο. ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο. εἴη τὸ ὄνομα κυρίου εὐλογημένον. ἐξέλθατε, τέκνα, μηδὲν ἐκ τούτου ὑφορώμενοι· ὁ γὰρ κύριος πάλιν μεριμνήσει περὶ τῆς αὔριον.' ἀνῆλθεν οὖν σχεδὸν τὸ ἥμισυ τῆς

---

1. καὶ ἀνάπαυσις fehlt in C. 3. ὡς δὲ τοῦτο ἴδεν, ἔξυπνος ἐγένετο C. φησὶ εἶδεν B. ἀπὸ] ἐκ BE. 4. ἀρχ. ἰωάννη BE. κατὰ τ. ὕπν. fehlt in C. 5. καὶ ὠφ. BE. ἐκ τούτου ὠφ. καὶ αὐτὸς ἔκτοτε γέγ. ἐλ. C. 6. γέγονε γὰρ A.

7. ΚΗ C. 8. ἀφελόμενος BEC. τὸ ὅμοιον fehlt in B. 10. βιαίου αὐτὰ χειμῶνος καταλαβόντος C. ἀδρείαν CAE. 11. αὐτῶν ἐν τῇ θαλάσσῃ BE. δὲ] γὰρ C. πάντα τὰ πλοῖα BEC. 12. δὲ καὶ BE. τῶν ἐνθ. αὐ. πολλὴ πάνυ BE. 13. ἄργυρ. πολὺν C. 14. ὡς οὖν ψηφ. A. τούτων τῶν ὄγκων A. 16. πλείω A. 21. Iob I 21. ὡς fehlt in AC. 22. ἀφείλετο CBE. 23. εὐλογ. εἰς τοὺς αἰῶνας BE. ἐξέλθετε B.

πόλεως ἐν τῷ σεκρέτῳ ἐπὶ τὴν αὔριον, θέλοντες παραμυθήσασθαι τὸν ἀοίδιμον τοῦτον. αὐτὸς δὲ προλαβὼν ἤρξατο πᾶσιν λέγειν· Μηδὲν, ὦ τέκνα καὶ ἀδελφοὶ, χάριν τῆς τῶν πλοίων ἀστοχίας καταπέσητε. πιστεύσατε γὰρ, ὁ ταπεινὸς Ἰωάννης εὑρέθη αἴτιος. εἰ μὴ γὰρ ὑψηλοφροσύνην εἶχον, οὐκ ἂν ταῦτα ἠστόχουν. ἀλλ' ἐπειδὴ ἐμεγαλοφρόνουν εἰς τὰ τοῦ θεοῦ καὶ ἐδόκουν ὅτι μεγάλα ἔργα ποιῶ διαδίδων τὰ τῶν ἀνθρώπων, τοῦτό μοι συνέβη. θέλων οὖν σωφρονίσαι με ὁ θεὸς, τοῦτο συνεχώρησεν γενέσθαι. ἡ γὰρ ἐλεημοσύνη τὸν μὴ νήφοντα πολλάκις εἰς ὑψηλοφροσύνην ἐπαίρει, ἡ δὲ ἀκούσιος συμφορὰ ταπεινοῖ τὸν ὑπομένοντα. φησὶν γὰρ ἡ θεία γραφή· Πενία ἄνδρα ταπεινοῖ.' καὶ πάλιν ὁ Δαυὶδ τοῦτο γινώσκων ἔλεγεν· Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.' δύο οὖν κακῶν ἐγενόμην αἴτιος, ὅτι τὴν διάδοσίν μου διὰ κενοδοξίας ἠπῶλλον καὶ ὅτι διὰ τὸ ἐμὸν πάθος ἠπώλλοντο τὰ τοσαῦτα χρήματα καὶ ἔχω ἄρτι τὸ κρῖμα τῶν στενουμένων ψυχῶν. πλὴν, ἀγαπητοὶ, ὁ τότε ἐπὶ τοῦ δικαίου Ἰὼβ θεὸς καὶ νῦν ὁ αὐτός ἐστιν, ὃς οὐ διὰ τὴν ἐμὴν πτωχείαν, ἀλλὰ διὰ τὴν τῶν δεομένων χρείαν οὐκ ἐγκαταλείψει ἡμᾶς. αὐτὸς γὰρ εἴρηκεν· Οὐ μή σε ἀνῶ οὐδ' οὐ μή σε ἐγκαταλίπω.' καὶ πάλιν· Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.' βουλόμενοι οὖν παραμυθήσασθαι αὐτὸν οἱ τῆς πόλεως, ὡς εἴρηται, μᾶλλον ηὑρέθησαν ἀντιπαραμυθούμενοι ὑπὸ τῆς αὐτοῦ μακαριότητος. λίαν οὖν βρα|χὺς χρόνος παρέβη καὶ ἐδιπλασίασεν ὁ θεὸς 301r

---

1. σεκρέιτω C. σηκρήτω E. 2. οὗτοσ BE. 4. καταπεσεῖτε A. γὰρ ὅτι BE. 7. διαδοὺσ B. 8. τοῖσ ἀνοίσ BE. σωφρονῆσαι E. σοφρονήσασθαι A. καὶ σωφρονίσαι θέλων ἐπὶ τοῦτό μοι ὁ θσ οὕτωσ γενέσθαι συνεχ. C. 13. Psalm. CXVIII 71. μοι A. 16. ἠπώλλον A. ἠπώλων E. perdebam Anast. ἐποίουν B. ἦλον C. ἀπώλοντο EBC. τὰ fehlt in C. 18. πλὴν δὲ BE. ὅτε statt ὁ τότε C. δικ. ἐκείνου Ἰὼβ B. δικ. Ἰὼβ. ἐκείνου E. 19. ὅστισ BE. 21. εἶπεν C. Hebr. XIII 5. 22. Matth. VI 33. 23. In E ist ἡμῖν geschrieben, aber von dem Schreiber selbst in ὑμῖν corrigirt. 26. οὐ βραχὺσ χρόνοσ παρῆλθεν C. παρέβη] διέβη B. προέβη E.

καὶ τῷ νέῳ ἡμῶν Ἰωβ τὰ ὑπάρχοντα, καὶ πάλιν ἦν ὁ αὐτὸς μεγαλόψυχος περὶ τὴν συμπάθειαν, τάχα δὲ καὶ πολὺ τοῦ πρώην αἰδεσιμώτερος.

Cap. XXIX. *Εἰς ἐσχάτην πτωχείαν καταντήσαντί τινι τῶν οἰκείων παραμονητῶν ἰδιοχείρως ὁ ὅσιος πρὸς τὸ μηδένα γνῶναι δύο χρυσίου λίτρας δεδωκὼς, καὶ ἀκούσας παρὰ τοῦ λαβόντος, ὅτι 'Ταῦτα δεξάμενος, δέσποτα, οὐκέτι ἔχω ὅψιν προσέχειν εἰς τὸ τίμιον καὶ ἀγγελικόν σου πρόσωπον,' ἀξιέπαινον ὄντως καὶ σοφὸν πρὸς αὐτὸν ἀπεφθέγξατο λόγον· 'Οὔπω,' φησὶν, 'τὸ αἷμά μου ὑπέρ σου ἐξέχεα, ἄδελφε, ὡς ἐνετείλατό μοι ὁ δεσπότης μου καὶ πάντων Χριστὸς ὁ θεός.'*

Cap. XXX. *Ἐπειγόμενός τις ὑπὸ τῶν τὰ δημόσια εἰσπραττόντων καὶ μὴ εὐπορῶν ἀποδοῦναι — ἦν γὰρ ἀστοχήσασα ἡ χώρα διὰ τὴν λειψυδρίαν τοῦ Νείλου —, ἀπελθὼν ἱκέτευσεν δοῦκά τινα τῶν μεγιστάνων δανεῖσαι αὐτῷ πεντήκοντα λίτρας χρυσίου, καὶ ἔλεγεν δίδειν καὶ ἐνέχυρα, εἰ βούλοιτο, διπλᾶ. ὑπέσχετο οὖν ὁ δοὺξ δοῦναι αὐτῷ, πρὸς τὸ παρὸν δὲ ὑπερέθετο. τῶν οὖν ἀπαιτούντων στενοχωρούντων αὐτὸν, καταλαμβάνει καὶ αὐτὸς πρὸς τὸν πάνδοχον λιμένα, ὥσπερ ἅπαντες, λέγω δὴ πρὸς τὸν πρᾳότατον καὶ ἀξιοθαύμαστον πατριάρχην. καὶ οὕπω σχεδὸν τὴν ἰδίαν περίστασιν αὐτῷ ἐξηγήσατο, καί φησι πρὸς αὐτόν· 'Δίδω, τέκνον, εἰ βούλει, καὶ ὅπερ φορῶ ἱμάτιον.' καὶ γὰρ μετὰ τῶν θαυμασίων αὐτοῦ κατορθωμάτων καὶ τοῦτο συνεκέκτητο τὸ μὴ δύνασθαι αὐτὸν ἰδεῖν τινα ἐκ περιστάσεως δακρύοντα καὶ μὴ εὐθέως καὶ αὐτὸν τοῖς οἰκείοις καταβρέχεσθαι δά-*

1. τοῦ νέου ἰὼβ ἡμῶν C. 4. ΚΘ CB. 5. τῶν — παραμ. fehlt in C. 8. τίμιόν σου καὶ ἀγγελ. πρόσ. BE. τίμιόν σου πρόσ. καὶ ἀγγ. C. 10. ἄδελφ. ἐξέχ. BEC. 11. ὁ δεσπότης μου χς καὶ πάντων θς BE. πάντων ἡμῶν C. 13. Α CB. εἰσπραττομένων B. 15. χώρα αὐτοῦ C. 17. διδόναι B. καὶ fehlt in B. 18. μὲν αὐτῷ, πρὸς δὲ BE. 20. πάνδοχα A. 23. δίδωμι B. 24. εἰ βούλει fehlt in C. μετὰ τῶν πολλῶν καὶ θ. BE. 25. καὶ κατορθ. A. ἐκέκτητο BE. 26. αὐτὸν fehlt in E. 27. καὶ vor αὐτὸν fehlt in C. τοῖς ἰδίοις A.

κρυσιν. ὅθεν καὶ παρ' αὐτὰ τὴν αἴτησιν τοῦ θέλοντος παρ' αὐτοῦ δανείσασθαι ἐξεπλήρωσεν. καὶ τῇ ἐπιούσῃ νυκτὶ θεωρεῖ ὁ δοὺξ ὅτι ἵστατο ἐπὶ θυσιαστηρίου τινὸς εἰς ὃ προσέφερον πολλοὶ προσφοράς. καὶ κατὰ μίαν ἣν ἐτίθουν ἐλάμβανον ἑκατὸν ἀντ' αὐτῆς ἐκ τοῦ θυσιαστηρίου. ἦν δὲ καὶ ὁ πατριάρχης ὄπισθεν αὐτοῦ. | ἔκειτο οὖν μία προσφορὰ 301v ἔμπροσθεν αὐτῶν εἰς ἓν σκαμνίον. καὶ λέγει τις τῷ δουκί· Ἄπελθε, κῦρι ὁ δοὺξ, λαβὲ τὴν προσφορὰν ἐκείνην, καὶ προσένεγκε εἰς τὸ θυσιαστήριον καὶ ἔπαρον ἀντ' αὐτῆς ἑκατὸν προσφοράς.' ἐκείνου δὲ δυσοκνήσαντος, ἔδραμεν ὁ πατριάρχης καίπερ ὄπισθεν αὐτοῦ ἑστώς. καὶ ἐπῆρεν αὐτὴν πρὸ αὐτοῦ καὶ προσήνεγκεν καὶ ἔλαβεν ὥσπερ ἅπαντες ἑκατὸν ἐκ τοῦ θυσιαστηρίου. ἐξυπνισθεὶς οὖν οὐκ ἠδύνατο διακρῖναι τὸ ὅραμα. ἔπεμψεν δὲ καὶ ἤνεγκεν τὸν θέλοντα δανείσασθαι, ἵνα παράσχῃ αὐτῷ. καὶ ὡς ἦλθεν, λέγει αὐτῷ ὁ δούξ· Λαβὲ τὸ ποσόν.' Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· Προέλαβεν τὸν μισθόν σου, δέσποτα, ὁ πατριάρχης. καὶ γὰρ τοῦ κυροῦ ὑπερθεμένου με, ἠναγκάσθην πρὸς ἐκεῖνον, ὡς πρὸς λιμένα, καταφυγεῖν. πολλὴ γὰρ ἦν ἡ ἐπίτασις τῶν ἀπαιτούντων.' ὡς οὖν ἤκουσεν τοῦτο, εὐθέως ὑπεμνήσθη τοῦ ἐνυπνίου καὶ εἶπεν· Ὄντως καλῶς εἶπας ὅτι προέλαβεν τὸν μισθόν σου. προέλαβεν γάρ, καὶ οὐαί τινι βουλομένῳ ποιῆσαι ἀγαθὸν καὶ ἀναμένοντι,' καὶ ἐξηγήσατο αὐτῷ καὶ πᾶσιν τὸ ἐνύπνιον ὃ ἐθεάσατο.

Cap. XXXI. Πορευομένου ποτὲ τοῦ ὁσίου ἐν τῷ ναῷ τῶν ἁγίων νικηφόρων μαρτύρων Κύρου καὶ Ἰωάννου ἐν τῇ ἐνδόξῳ αὐτῶν μνήμῃ εὐχῆς χάριν, ἐξελθόντα τὴν πόρταν

5. ἐλάμβ. ἀ. αὐ. ἐκ τοῦ θυσ. ἑκατόν C. 6. ὄπιθεν C. μία fehlt in E. 8. καὶ λάβε A. 11. ὄπιθεν C. 13. ἐκ] ἀπὸ C. 14. δὲ fehlt in E. τῶ θέλοντι C. 15. αὐτῶ τὸ κέρμα BE. εἶλθεν A. 16. ὁ δοὺξ fehlt in A. ποσὸν ἄδελφε BE. 17. προσέλαβεν A. 18. ἁγίου κύρου BE. 19. ὥσπερ εἰσ λιμένα BE. καταφυγήν A. καταφεύγειν C. ἐπιστασία A. 20. οὖν] δὲ A. τοῦτο] τούτου E. 21. οὕτωσ καλῶσ A. 23. τε καὶ πᾶσιν E.

25. ΛΑ C. ΛΒ B. 26. νικηφόρων fehlt in BE. 27. χάριν εὐχῆσ C.

τῆς πόλεως δέχεται αὐτὸν γύναιον προσπίπτοντα καὶ λέγοντα· 'Ἐκδίκησόν με, ὅτι ἀδικοῦμαι ἐκ τοῦ γαμβροῦ μου.' τινῶν οὖν τῶν ἐχόντων παρρησίαν πρὸς αὐτὸν ἐκ τοῦ ὀψικίου αὐτοῦ λεγόντων, ὅτι ἐν τῷ ὑποστρέφειν αὐτὸν τὸ πρᾶγμα αὐτῆς ποιεῖ, ἀπεκρίνατο ὁ πάνσοφος· 'Καὶ πῶς ὁ θεὸς τὴν εὐχήν μου προσδέξεται, ἐὰν ἐγὼ ταύτην ὑπέρθωμαι; τίς δὲ καὶ ὁ ἐγγυώμενος ὅτι ζήσομαι εἰς τὴν αὔριον; καὶ ὑπάγω πρὸς τὸν Χριστὸν περὶ αὐτῆς ἀναπολόγητος,' καὶ οὐκ ἀπέστη τοῦ τόπου, ἕως οὗ τὸ ἱκανὸν αὐτῆς γενέσθαι ἐποίησεν.

Cap. XXXII. Πρὸς τὴν πρόθεσιν οὖν τοῦ ἀοιδίμου
302r τούτου ὅλην θεϊκὴν ὑπάρχουσαν ἔπεμψεν αὐτῷ ὁ | κύριος καὶ τοὺς θεοσόφους καὶ ἀειμνήστους Ἰωάννην καὶ Σωφρόνιον. σύμβουλοι γὰρ ἦσαν χρηστοὶ ἀληθῶς, οἷς καὶ ὡς πατράσιν ἀδιακρίτως ὑπήκουσεν καὶ ηὐχαρίστει ὡς γενναίοις μάλιστα καὶ ἀνδρείοις στρατιώταις ὑπὲρ τῆς εὐσεβείας. καὶ γὰρ τῇ τοῦ ἁγίου πνεύματος θαρρήσαντες δυνάμει καὶ πόλεμον ἐν διαλέξεσιν τῆς σοφίας αὐτῶν μετὰ τῶν Σευηρομανιτῶν καὶ λοιπῶν περὶ τὴν χώραν τυγχανόντων ἀκαθάρτων αἱρετικῶν συγκρούσαντες, πολλὰς μὲν κώμας, πλείστας δὲ ἐκκλησίας, ὡσαύτως δὲ καὶ μοναστήρια ἐκ τῶν στομάτων τῶν τοιούτων θηρίων δίκην προβάτων ὡς καλοὶ ποιμένες ἀπέσπασαν· διὸ καὶ μάλιστα ὑπερετίμα τοὺς ὁσίους ὁ πανόσιος.

---

1. γύναιον προσπίπτοντα καὶ λέγοντα A. προσπῖπτον καὶ λέγον BE. γυνὴ προσπίπτουσα καὶ λέγουσα C. 5. ὁ πάνσοφος] ὁ τίμιος πατριάρχης BE. 6. μου fehlt in B. προσδέξηται A. ὑπερθῶμαι E. 7. ἐγγυώμενός με C. 8. ἀναπ. περὶ αὐτῆς E. 9. αὐτῇ B.

10. Die Capitelzahl ΛΒ fehlt im Codex C. ΛΓ B. 11. τούτου ἀνδρὸς BE. ὅλην τὴν θήκην C. ὑπάρχ. καὶ εὐλαβείας πλήρη (πλήρης E) BE. 13. χριστιανοὶ A. οἷς καὶ ὁ πατριάρχης ἀδιακρίτως ὑπήκουεν B. οἷς κ. ὁ πατρ. ὑπήκ. E. 14. ὡς γενναίους μάλ. καὶ ἀληθεῖς τοῦ χῦ στρατιώτας ὑπὲρ τ. εὐσ. ἀγωνιζομένους C. 16. δυν. θαρρ. BCE. 17. τῇ σοφίᾳ BE. σευηριανομανητῶν AB. σευηριομανιτῶν C. σευηριανιτῶν E. Severianitis An. 18. καὶ — ἀκαθάρτων fehlt in C. 19. συγκροτήσαντες E. 20. δὲ καὶ ἐκ. B. δὲ vor καὶ lässt A weg. ἐκ στομάτων E. ἐκ τῶν θηριωδῶν τούτων στομάτων ὡς C. 23. ὁ πάνσοφος A. ὁ πανόσιος καὶ μέγας ἱεράρχης BE.

Cap. XXXIII. *Εἰ δέ πού τινα σκληρὸν καὶ ἀπάνθρωπον καὶ πλήκτην πρὸς τοὺς οἰκείους δούλους ἤσθετο ὁ μακάριος, τοῦτον πρῶτον μὲν μετεστέλλετο, καὶ μετὰ πολλῆς ἠπιότητος παρεκάλει λέγων· Τέκνον, ἦλθεν εἰς τὰς ἀκοάς μου τὰς ἁμαρτωλὰς, ὡς ὅτι ἐξ ἐνεργείας τοῦ ἐχθροῦ μικρὸν σκληροτέρως περὶ τοὺς τοῦ οἴκου σου παῖδας φέρει. ἀλλὰ παρακαλῶ μὴ δοῦναι τόπον τῇ ὀργῇ· οὐ γὰρ διὰ τὸ πλήττειν τούτους δέδωκεν ἡμῖν αὐτοὺς ὁ θεὸς, ἀλλὰ διὰ τὸ δουλεύεσθαι, τάχα δὲ οὐδὲ διὰ τοῦτο, ἀλλὰ διὰ τὸ συγκροτεῖσθαι παρ' ἡμῶν, ἐξ ὧν ὁ θεὸς παρέσχεν ἡμῖν. τί γὰρ εἰπέ μοι καὶ ἔδωκεν ἄνθρωπος καὶ ἠγόρασεν τὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν θεοῦ κτισθέντα καὶ τιμηθέντα; μὴ γὰρ τί ποτε σὺ ὁ δεσπότης αὐτοῦ περιττὸν αὐτοῦ κέκτησαι ἐν τῷ ἰδίῳ σώματι; χεῖρα ἢ πόδα ἢ ἀκοὴν ἢ ψυχήν; μὴ οὐχ ὅμοιός σού ἐστι κατὰ πάντα; ἄκουσον τοῦ φωστῆρος Παύλου λέγοντος· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. οὐκ ἔνι Ἰουδαῖος καὶ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος. πάντες γὰρ ὑμεῖς εἷς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ.' εἰ οὖν παρὰ Χριστῷ ἴσοι ἐσμὲν, καὶ πρὸς ἀλλήλους ἴσοι γενώμεθα· καὶ γὰρ ὁ Χριστὸς μορφὴν δούλου ἀνέλαβεν ἐκδιδάσκων ἡμᾶς μὴ ὑπερηφανεύεσθαι κατὰ τῶν συνδούλων ἡμῶν. | εἷς γάρ ἐστι δεσπότης πάντων ἐν οὐρανοῖς κατοικῶν* 302v *καὶ τὰ ταπεινὰ ἐφορῶν· οὐκ εἶπεν τὰ πλούσια, ἀλλὰ τὰ ταπεινά. ποσὸν γὰρ καὶ χρυσὸν ἐδώκαμεν, ἵνα τὸν τιμηθέντα καὶ ἀγορασθέντα σὺν ἡμῖν αἵματι θείῳ καὶ δεσπο-*

---

1. ΛΔ B. In C fehlt die Capitelangabe. *σκληρόν τινα* E. 2. *πληκτικόν* C. 3. *μὲν πρῶτον* C. *ἐπεστέλλετο* E. 6. *σκληρότερος* E. *φέρῃ* BE. 8. *αὐτοὺς* fehlt in A. 9. *δουλεύεσθαι ὑπ' αὐτῶν* BE. *τάχα δὲ* BE. *οὐ* A. fortasse vero nec An. 12. *καὶ τιμηθέντα* AE und An., es fehlt in BC. 13 *σὺ*] *ἂν* C. *περὶ τῶν* C. *περισσὸν* B. *περισσότερον* E. *αὐτοῦ* fehlt in E. 16. *κράζοντος* C. Gal. III 27, 28. 17. *καὶ ἑλ.* C. 18. *εἷς* fehlt in C. *ἰῦ* fehlt in C. 19. *ἐσταὶ* A. *ἀλλήλοις* C. 20. *γενόμεθα* AC. *καὶ γὰρ καὶ* C. *δούλου μορφὴν* C. *ἔλαβεν* C. 21. *ὑπερηφ. μηδὲ ἐπαίρεσθαι* A. 22. *ἡμῶν* E. *ὑμῶν* die übrigen. 24. *δεδώκαμεν* BE.

τικῷ ἑαυτοῖς καταδουλώσομεν. δι' αὐτὸν οὐρανὸς, δι' αὐτὸν γῆ, δι' αὐτὸν ἀστέρες, δι' αὐτὸν ἥλιος, δι' αὐτὸν θάλασσα καὶ τὰ ἐν αὐτῇ· ἔστιν δὲ ὅτε καὶ ἄγγελοι αὐτῷ διακονοῦσιν. δι' αὐτὸν ὁ Χριστὸς πόδας δούλων ἔνιψεν, δι' αὐτὸν ἐσταυρώθη καὶ πάντα τὰ λοιπὰ δι' αὐτὸν ἔπαθεν. σὺ δὲ τὸν παρὰ θεοῦ τιμηθέντα ἀτιμάζεις, καὶ ὥσπερ οὐ τῆς αὐτῆς φύσεως ὄντα ἀφειδῶς τύπτεις. εἰπὲ, οὕτως ἔχεις τὸν ταπεινὸν Ἰωάννην. ἤθελες ἵνα καθὼς πταίῃς, εὐθέως ἐπεξήρχετό σοι καὶ ἀπεδίδου ὁ θεός; οὐδαμῶς. εἰπὲ· πῶς εὔχῃ καθ' ἡμέραν λέγων; Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.' τούτοις καὶ τοῖς τοιούτοις λόγοις ὁ μακάριος ἐκ τοῦ ἐνοικοῦντος αὐτῷ θησαυροῦ νουθετῶν τοῦτον ἀπέλυεν. καὶ εἰ μὴ ἔμαθεν τοῦτον διορθωσάμενον, παρεσκεύαζεν λελῃθότως τὸν κατα- πονούμενον προσφύγιον κρατῆσαι καὶ πρᾶσιν αἰτήσασθαι. καὶ τοῦτον ἀγοράζων ὁ δίκαιος παρ' αὐτὰ ἐλεύθερον αὐτὸν ἀπεκατέστησεν.

Cap. XXXIV. Ἀκηκοώς ποτέ τινος ἐλεήμονος παῖδα ὀρφανὸν καταλειφθέντα τῶν αὐτοῦ γονέων τελευτησάντων καὶ ἐν πτωχείᾳ πολλῇ διάγειν τοῦτον, ἔλεγον γὰρ οἱ εὑρεθέντες ἐν τῇ διαθήκῃ τοῦ πατρὸς μάρτυρες, ὅτι 'οὐκ ἀφῆκεν αὐτῷ, δέσποτα, ὁ πατὴρ αὐτοῦ ἀποθνήσκων ἕως ἑνὸς νομίσματος· ἀλλ' ἔχων δέκα λίτρας χρυσίου, φέρει αὐτὸν ἐν τῇ ὥρᾳ, ὅτε τὴν διαθήκην ἔγραφεν καὶ λέγει αὐτῷ· 'Ταύτας τὰς δέκα λίτρας ἔχω, τέκνον μου. τί θέλεις; ἐάσω σοι ταύτας

1. ἑαυτοὺσ A. καταδουλώσωμεν E. 3. ὅτι C. 4. ἔνηψε C. ἐνίψεν δούλων A. 5. ἐραπίσθη καὶ ἐσταυρώθη A. ἔπαθεν fehlt in AC. 6. τοῦ θῦ A. 7. ὄντασ (ὄντα E) φύσεωσ BE. οὐ τοὺσ AC. 8. ἤθελεσ καθὼσ πταίειν πρὸσ θῦ οἶδασ, εὐθέωσ ἐπείρχετό σοι καὶ ἀπεδίδει C. 9. ἐπεξέρχετο A. ἀπεδ. σοι A. 10. Hinter λέγων bieten B und E: οὐχὶ λέγεισ καθ' ἑκάστην. 11. ἀφίημεν C. 16. αὐτὸν fehlt in E. 17. ἀπεκατέστενεν A. καθίστα BE. ἐποίει C.

18. Die Capitelzahl fehlt in C. ΛΕ B. 20. πολλ. πτω. BE. πολλῇ τοῦ. διάγ. πτωχεία C. τοῦ πρσ αὐτοῦ εὑρεθέντεσ μάρτ. CE. 22. αὐτὸν BE. ὁ πῆρ αὐτοῦ, δέσποτα E. νομίσμ. ἑνόσ BE. 23. ἐν fehlt in BE. ἐν τῇ ὥρα fehlt in A. 24. ὅ τε A. 25. λίτρασ τοῦ χρυσίου BE. σὲ B.

ἢ τὴν δέσποιναν μου τὴν θεοτόκον κουράτορα καὶ προνοήτριαν;' τοῦ δὲ παιδὸς ἐκλεξαμένου τὴν ἁγίαν δέσποιναν, διέταξεν δοθῆναι ὅλα τοῖς πτωχοῖς. καὶ ἰδού,' φησιν, 'ὁσιώτατε, ἐν πολλῇ στενώσει ὑπάρχει νυκτὸς καὶ ἡμέρας τοῦ οἴκου τῆς δεσποίνης μὴ ἀφιστάμενος.' ὡς οὖν ταῦτα ἤκουσεν παρὰ τῶν γινωσκόντων ὁ δίκαιος, μηδενὶ μηδὲν εἰπὼν, 303r μεταστέλλεταί τινα νομικὸν, καὶ διηγεῖται αὐτῷ τὸ πρᾶγμα, δώσας αὐτῷ ὅρον μηδενὶ θαρρῆσαι, ὃ ἐπιτρέπει αὐτῷ ποιῆσαι πρᾶγμα, εἰπὼν αὐτῷ· 'Ἄπελθε καὶ εἰς παλαιὰ τομάρια γράψον διαθήκην τινὸς ὀνόματι Θεοπέμπτου καὶ ποίησον εἰς τὸν αὐτὸν χάρτην ἐμὲ καὶ τὸν πατέρα τοῦ παιδὸς ἀνεψιοὺς γνησίους καὶ ἄπελθε καὶ εἰπὲ τῷ νεωτέρῳ· 'Οἶδας, ἄδελφε, ὅτι γένος ὑπάρχων τοῦ πατριάρχου, οὐκ ὤφειλες οὕτως ἐν πτωχείᾳ διάγειν.' καὶ δεῖξον αὐτῷ καὶ τὸ χαρτίον καὶ εἰπὲ αὐτῷ ὅτι 'Ἐὰν σὺ ἐρυθριᾷς, ἐγὼ διοικῶ τὸ πρᾶγμά σου πρὸς τὸν πάπαν.' καὶ βλέπε, τί σοι λέγει καὶ ἐλθὲ πάλιν πρός με.' ὡς οὖν πάντα τὰ κελευσθέντα αὐτῷ ὑπὸ τοῦ πατριάρχου ὁ νομικὸς ἐποίησεν, ἔρχεται πρὸς αὐτὸν λέγων ὅτι 'Συνέθετό μοι ὁ παῖς ἵνα ἐγὼ λαλήσω τὸ πρᾶγμα αὐτοῦ τῷ κυρῷ καὶ μεγάλας εὐχαριστίας ὁμολογεῖ μοι.' εἶπεν οὖν ὁ ὅσιος· 'Ἄπελθε, εἰπὲ αὐτῷ ὅτι ἐγὼ ἐλάλησα τῷ πάπᾳ καὶ εἶπεν, ὅτι 'κἀγὼ γινώσκω ὅτι εἶχεν ὁ ἀνεψιός μου υἱὸν, ἀλλὰ ἀπὸ ὄψεως τοῦτον οὐ γνωρίζω.' καλῶς οὖν ποιεῖς, φέρων αὐτὸν πρός με· φέρων τε αὐτὸν, φέρε καὶ χάρτην μετά σου.' ὡς οὖν παρεγένοντο, ἔλαβεν αὐτὸν κατ'

---

1. τὴν vor θκον̄ fehlt in C. τὴν ὑπεραγίαν θκον̄ BE. προνοητήν E. 2. ἐπιλεξ. B. δέσποιναν θκον̄ BE. 6. ὁ δίκαιος A. ὁ ὅσιος BE. sanctus An. ὡσ ο. τ. ὁ ὅσιος ἤκουσεν C. 7. τὰ πράγματα BE. 8. δοὺς BE. δ] καὶ C. 9. πρᾶγμα] γράμμα C. γράφον B. 10. ὄνομα C. Θεοπέμπτου BCE und Symeon (Migne CXIV 945 B) Θεοπόμπου A. 11. αὐτὸν τὸν C. 13. ὑπάρχεισ B. καὶ οὐκ BC. ὤφελεσ C. ὀφείλεισ BE. 14. αὐτὸ B. τὸν χάρτην C. 17. πάλιν fehlt in A. 19. ὅτι συνέθετο AE, fehlt bei den übrigen. 20. μεγ. μοι εὐεργεσίασ ὁμολ. εἶπεν δὲ αὐτῷ ὁ ὅσιοσ BE. 24. φέρον τε A. φέρων δὲ BE. φέρων τε αὐ. φέρε fehlt in C. 25. τὸν χάρτην E. αὐτὸν fehlt in C.

ἰδίαν ὁ δίκαιος καὶ ἤρξατο καταφιλεῖν αὐτὸν καὶ λέγειν· 'Καλῶς ἦλθεν ὁ υἱὸς τοῦ ἀνεψιοῦ μου.' ἐπλούτισεν οὖν αὐτὸν καὶ ἐνεγάμισεν ἐν Ἀλεξανδρείᾳ καὶ οἶκον καὶ πάντα τὰ τῆς χρείας ἐχαρίσατο αὐτῷ, δεῖξαι σπουδάσας ὁ ὅσιος, ὅτι οὐκ ἐγκαταλείψει κύριος τοὺς ἐλπίζοντας ἐπ' αὐτόν.

Cap. XXXV. Ἀπαραλείπτως δὲ καὶ ταύτης ἐπιμελούμενος ὁ θαυμάσιος τῆς ἐντολῆς τῆς νομοθετούσης τὸν θέλοντα δανείσασθαι ἀπό σου μὴ ἀποστραφῇς, οὐδέποτε ἐκώλυσέν τινα τὸν τῆς τοιαύτης ἐπικουρίας παρ' αὐτοῦ δεόμενον. ὅθεν τοῦτο γινώσκων τις κακότροπος καὶ ἐπιθέτης ἠτήσατο αὐτὸν δανεῖσαι αὐτῷ εἴκοσι λίτρας χρυσίου. ἦν γὰρ τῶν λεγομένων γαλλοδρόμων. ἀγνωμονήσας οὖν τὸν ὅσιον καθὼς 303v καὶ | ἄλλους πολλοὺς, ἔλεγεν, ὅτι 'οὐδέν μοι δέδωκεν.' ἐξήτησαν οὖν οἱ τῆς ἐκκλησίας οἰκονόμοι καὶ διοικηταὶ τοῦτον φυλακίσαι καὶ δημεῦσαι αὐτοῦ τὴν ὑπόστασιν. ὁ δὲ μιμητὴς τοῦ εἰπόντος 'Γίνεσθε ἀγαθοὶ καὶ οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ὅστις ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους', οὐδαμῶς τούτοις συνεχώρησε τοῦτον θλῖψαι τὸ σύνολον. τῶν δὲ ταραττομένων κατ' αὐτοῦ, ὡς τῷ πατριάρχῃ ἐμπαίξαντι, καὶ λεγόντων αὐτῶν πρὸς τὸν ὅσιον· 'Οὐ δίκαιόν ἐστι, δέσποτα, ἵνα ὅπερ ἔχουσιν λαβεῖν οἱ πτωχοὶ, οὗτος λάβῃ ὁ ἄσωτος·' ἀνταπεκρίνατο αὐτοῖς ὁ τρισμακάριος λέγων· 'Πιστεύσατε, ἀδελφοὶ, ἐὰν παρὰ πρόθεσιν λάβητέ τί

---

2. Hinter μου fügen BE noch καλῶς ἦλθεν τὸ τέκνον τῆς ἐκκλησίας hinzu. ἐπλούτησεν AE. 3. ἐνεγάμισεν B. ἐνεγγάμησεν A. ἐνεγάμησεν die übrigen. 4. ὁ ὅσιος fehlt in C. 5. ἐγκαταλιμπάνει BE. derelinquet An. ἐγκατέλειπεν A. πάντας τοὺς BE.

6. Die Capitelzahl fehlt in C. $\overline{AE}$B. 7. Deuter. XV 7. 9. δεόμ. παρ' αὐτοῦ C. 11. αὐτῷ fehlt in C. αὐτὸν A. 12. γαλοδρόμων BE. 13. ἐξήτησαν] ἐζήτησαν E. 15. φυλακῆσαι AC. 15. δεσμεῦσαι B. 16. Luc. VI 36. 17. Matth. V 45. ἀνατέλει AC. 20. ταραττομένων καὶ βρυχόντων τοὺς ὀδόντας BE. 21. αὐτῶν fehlt in C. πρὸς αὐτὸν A und An. 23. τρισμακάριστος E. 24. πιστεύσατοι A. τίποτε A. τι die andern. λάβηται — παραβαίνεται — πληροῦται E.

ποτε ἐξ αὐτοῦ, δύο ἐντολὰς παραβαίνετε καὶ μίαν πληροῦτε ὅτε καὶ εἰς τοὺς πτωχοὺς δοθῇ τὸ τοιοῦτον ποσὸν, μίαν μὲν, ὅτι ἐφάνητε ἀνυπομόνητοι πρὸς τὴν ζημίαν καὶ ἐγένεσθε καὶ ἄλλοις τύπος κακὸς, δευτέραν δὲ μὴ ὑπακούσαντες τῷ δεσπότῃ θεῷ τῷ εἰπόντι· Ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει'. συμφέρει οὖν, ὦ τέκνα, ἵνα γενώμεθα πᾶσιν ὑπόδειγμα ὑπομονῆς. καὶ γὰρ καὶ ὁ ἀπόστολος λέγει· Διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε καὶ ἀποστερεῖσθε;' καὶ καλὸν μέν ἐστιν, ἀδελφοὶ, ἀληθῶς, παντὶ τῷ αἰτοῦντι διδόναι, ὑψηλότερον δὲ καὶ τιμιώτερον καὶ τῷ μὴ αἰτοῦντι, τῷ δὲ αἴροντι τὸ ἱμάτιον ἀπροαιρέτως ἐξ ἡμῶν διδόναι καὶ τὸν χιτῶνα ἀγγελικῆς ὄντως φύσεως μίμημα, μᾶλλον δὲ θεϊκῆς. ἐκ τῶν γὰρ ὑπαρχόντων ἡμῖν ὁ κύριος εὐποιεῖν τὸν πλήσιον προσέταξεν. 'Ἀγαθοποιήσεις γάρ,' φησιν, 'τῷ ἀδελφῷ σου, καθὼς εὐπορεῖ ἡ χείρ σου, οὐκ ἐκ τῶν ἀπὸ δίκης καὶ φιλονεικίας ἐκ τοῦ ἀδικοῦντος ἐπαιρομένων.'

Cap. XXXVI. Γέρων τις μέγας ὡς ἐτῶν ἑξήκοντα ἀκούσας τὰ τοιαῦτα πράγματα τοῦ μακαρίου, ἠθέλησεν πειράσαι αὐτὸν, εἰ ἐστιν λογοπειθὴς καὶ εὐσκανδάλιστος, καὶ εἰ, ὡς ἔτυχεν, κατακρίνει τινά. καὶ οἰκῶν πρότερον ἐν τῇ μονῇ τοῦ ἀββᾶ Σερίδωνος, ἐξῆλθεν καὶ ἔρχεται ἐν Ἀλεξανδρείᾳ καὶ ἀναλαμβάνεται πολιτείαν τοῖς | μὲν ἀνθρώποις εὐσκαν- 303 I r
δάλιστον, τῷ δὲ θεῷ εὐαπόδεκτον, τῷ διδόντι, ὥς φησιν ὁ Δαυὶδ, ἑκάστῳ κατὰ τὴν καρδίαν αὐτοῦ. εἰσελθὼν γὰρ εἰς

---

1. καὶ — ποσὸν fehlt in C. 2. τοὺς fehlt in BE. 3. γεννήσεσθαι C. 4. κακίας τύπος C. δεύτερον ABE. δὲ fehlt in A. ὑπακούσαντας C. 5. τῷ δεσπ. θῷ fehlt in A. Luc. VI 30. 6. γινόμεθα A. 7. ἀποστ. παῦλος E. I. Cor. VI 7. 8. οὐχὶ fehlt in A. ἀδικεῖσθε] ἀπαιτεῖσθαι A. ἀποστερεῖσθε καὶ ἀδικῆσθε C. καλλὸν A. 9. ἀδελφοὶ, ἀληθῶς A. ἀλ. ἀδ. die andern. 12. ὄντος A. ἐκ τῶν γὰρ AE. ἐκ γὰρ τῶν BC. 13. τῷ πλησίω A. τὸ πλησίον E. fehlt in C. 14 φησιν fehlt in C. καὶ καθὼς C. 15. οὐχὶ δὲ BE. 16. δοκοῦντος ἐπερομένου A. ἐπαιρόμενον C.

17. Die Capitelzahl fehlt in Codex C. ΛΖ B. ἐτῶν ξ ὑπάρχων E. 18. ἤθελεν E. 19. εἰς ἐστὶν A. καὶ εὐσκ. fehlt in C. 20. κατακρίνειν A. πρῶτον CE. ἐπὶ τῇ BE. 21. εἰς ἀλεξάνδρειαν A. 23. ὁ fehlt in B. Psalm XIX 5.

τὴν πόλιν ἀναγράφεται ὅλας τὰς προϊσταμένας εἰς γνῶσιν καὶ ἤρξατο κάμνειν ἐργατείας καὶ λαμβάνειν ἡμερήσιον κεράτιον ἕν. ὡς οὖν ἔδυνεν ὁ ἥλιος, ἔτρωγεν ἑνὸς φολλεροῦ θέρμια, καὶ τὰ λοιπὰ ἐλάμβανεν καὶ εἰσήρχετο εἰς μίαν τῶν προϊσταμένων καὶ ἐδίδει αὐτῇ τὰ φολλερὰ καὶ ἔλεγεν· 'Χάρισαί μοι τὴν νύκταν ταύτην καὶ μὴ πορνεύσῃς.' καὶ ἔμενεν ἐγγὺς αὐτῆς τὴν ἑσπέραν ἐκείνην, φυλάττων αὐτὴν, ἵνα μὴ πορνεύσῃ. ἵστατο οὖν ἀπὸ ἑσπέρας εἰς μίαν γωνίαν τοῦ κελλίου ἔμπροσθεν ὅπου ἐκοιμᾶτο ἡ γυνὴ, ψάλλων καὶ εὐχόμενος ὑπὲρ αὐτῆς καὶ βάλλων μετανοίας ἕως τοῦ ἀῦγους. καὶ ἐξερχόμενος ἐλάμβανεν λόγον ἐξ αὐτῆς ὅτι οὐθενὶ λέγει τὴν ἐργασίαν αὐτοῦ, ὥστε μία φανερώσασα τὴν πολιτείαν αὐτοῦ, ὅτι οὐ διὰ τὸ πορνεύειν εἰσέρχεται εἰς αὐτὰς, ἀλλὰ διὰ τὸ σῶσαι, ἠῦξατο ὁ γέρων καὶ ἐδαιμονίσθη ἡ γυνὴ, ὥστε ἐξ ἐκείνης καὶ τὰς λοιπὰς φοβεῖσθαι καὶ μὴ φανερῶσαι αὐτὸν πάντα τὸν χρόνον τῆς ζωῆς αὐτοῦ. ἔλεγον οὖν τινες τῇ δαιμονισθείσῃ· 'Τί ἐστιν; ἀπέδωκέν σοι ὁ θεὸς ὅτι ἐψεύσω. διὰ γὰρ τὸ πορνεύειν εἰσέρχεται ὁ κακέσχατος οὗτος καὶ οὐ δι' ἄλλο τίποτε.' λοιπὸν γὰρ ὁ ὅσιος Βιτάλιος — τοῦτο γὰρ ἦν ὄνομα αὐτῷ — βουλόμενος τὴν τῶν ἀνθρώπων δόξαν φυγεῖν καὶ ψυχὰς ἐκ σκότους ἀνακαλέσασθαι, ἔλεγεν ἀκουόντων πάντων ὡς ἔκαμνεν εἰς τὴν ἐργατείαν καὶ ἀπελύετο ἑσπέρας· Ἄγωμεν, κῦρι· ἄρτι ἡ κυρὰ ἡ δεῖνα ἀναμένει σε,

2. ἐργάτασ A. ἐργατίασ C. ἡμερήσιον E. ἡμερίσιον B. ἡμέριον AC. 3. ἕν fehlt in A. οὖν fehlt in C. μιᾶσ BE. φολεροῦ AC. φόλλεωσ B. φώλεωσ E. 5. ἐδίδη A. ἐδίδου BE. αὐτὴν A. φολλερὰ B. φωλερὰ E. φολερὰ AC. 6. νύκτα BCE. 8. οὖν] δὲ BE. οὖν εἰσ μίαν γωνίαν τοῦ κελλίου αὐτῆς ἀπὸ ἑσπέρασ ἕωσ πρωῒ ψάλλων A. 10. τοῦ fehlt in A. 12. τὴν τὴν ἐργασίαν A. πολιτείαν] ἐργασίαν C. 13. πρὸσ αὐτ. BE. 15. ὥστε A. ὡσ die andern. ἐξ ἐκείνησ fehlt in A. φοβεῖσθαι A. φοβηθῆναι die andern. 16. οὖν] δὲ BE. 17. τί ἐστιν fehlt in E. τί ἐν; ἀπέδωκέν σοι ὁ θσ AC. 18. πορνεῦσαι C. τοῦτοσ A. 19. γὰρ] δὲ βιτάλιοσ B. δὲ καὶ ὁ ὅσ. Βιτ. E 20. βητάλλιοσ A. 21. ἀνακαλέσασ A. 22 ἔκαμνεσ A. ἐργατίαν A. ἐργασίαν C. ἀπολυέτω A. 23. κύρι BCE. κύρη A. ἄρτι] ὅτι A κυρὰ C. κυρ'α B. ἡ κυρὰ ἴδη ἀναμένη A. ἡ ὁ δεῖνα E. περιμένει BE.

ὅπου ἦν ὁ ὄρδινος αὐτοῦ.' πολλῶν οὖν ἐγκαλούντων αὐτῷ καὶ ἐμπαιζόντων ἔλεγεν· 'Τί ἐγὼ οὐ φορῶ σῶμα ὡς πάντες ἢ τοῖς μοναχοῖς μόνοις ὠργίσθη ὁ θεός; ὄντως καὶ αὐτοὶ ἄνθρωποί εἰσιν, ὡς πάντες.' ἔλεγον οὖν αὐτῷ τινες· 'Λαβέ σοι μίαν γυναῖκα, ἀββᾶ, καὶ ἄλλαξον τὴν φορεσίαν σου, ἵνα μὴ βλασφημῆται ὁ θεὸς διὰ σοῦ καὶ ἔχῃς κρῖμα τῶν σκανδαλιζομένων ψυχῶν.' ὁ δὲ ἀπεκρίνατο αὐτοῖς λέγων πάλιν, ἐποίει δὲ καὶ τὸν ὀρ|γιζόμενον· 'Ὄντως οὐκ ἀκούω ὑμῖν, 303 I[v]
ὑπάγετε ἐξ ἐμοῦ. ἄρτι οὐδὲν ἄλλο ποιῶ ἵνα ὑμεῖς μὴ σκανδαλίζησθε, εἰ μὴ ὅτι λαμβάνω γυναῖκα, ἵνα φροντίζω οἴκου καὶ ποιῶ κακὰς ἡμέρας. ὁ θέλων σκανδαλισθῆναι σκανδαλισθῇ καὶ δώσει κριούς. τί θέλετε ἐξ ἐμοῦ; μὴ κριταὶ κατεστάθητέ μοι ὑπὸ τοῦ θεοῦ· ὑπάγετε, ἑαυτῶν φροντίσατε ὑμεῖς· ὑπὲρ ἐμοῦ γὰρ οὐκ ἀπολογεῖσθε. εἷς ἐστιν ὁ κριτὴς καὶ ἁγία ἡμέρα κρίσεως ὁ ἔχων ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.' ἔλεγεν δὲ ταῦτα κράζων. τινὲς οὖν ταῦτα πολλάκις ἀκούσαντες ἐξ αὐτοῦ τῶν ἐκκλησιεκδίκων, προσανήνεγκαν τῷ πάπᾳ τὸ κατ' αὐτὸν κεφάλαιον. ὁ δὲ θεὸς ὁ γινώσκων ὅτι οὐ θέλει ὁ ὅσιος προσκροῦσαι τῷ ἀββᾷ Βιταλίῳ, ἐσκλήρυνεν τὴν καρδίαν αὐτοῦ, καὶ οὐκ ἐπίστευσεν αὐτοῖς — ἦν γὰρ καὶ ἐκ τῆς πείρας τοῦ προμνημονευθέντος εὐνούχου ἔμφοβος — ἀλλ' ἐπετίμησεν αὐτοῖς σφοδρῶς τοῖς κατὰ τοῦ ἀββᾶ Βιταλίου προσανενέγκασιν αὐτῷ, εἰπὼν πρὸς

---

1. ὄρρδινος C. ἐγκαταλαλούντων αὐτὸν A. αὐτῷ fehlt in C. 4. εἰσὶν fehlt in B. αὐτὸν A. 5. σὺ E. μία A. 6. βλασφημεῖται ABC. ἔχεις AC. 7. λέγων πάλιν A. · λέγ. lassen die übrigen weg. δὲ καὶ τῶν ὀργιζομένων A. δὲ ἑαυτὸν καὶ ὀργιζόμενον BE. δὲ ἑαυτὸν ὀργιζ. C. 8. ὑμῶν A. 9. ἀπ' ἐμοῦ C. ἄρτι] ἢ C. ἄλλο τι A. 11. σκανδαλισθήτω BE. ὁ σκανδαλιζόμενος ἂς σκανδαλίζεται καὶ ἂς δώσει κριούς τί τοῦτο; μὴ γὰρ κτλ. C. 12. ἐμοῦ ἀκούειν BE. μὴ γὰρ BC. γὰρ fehlt in AE. 13. ἑαυτοὺς C. 14. ἀπολ. τῷ θῷ BE. 15. μία A. ἁγία BE. ἡ ἁγία ἡμέρα τῆς κρίσεως C. sancta dies iudicii An. ἐκείνη ἡ ἔχουσα C. 16. δὲ καὶ C. κράζων μεγάλως B. ἔλεγεν — κράζων fehlt in E. 17. πολλάκις ταῦτα C. ἀκούσ. ἔκδικοι τῆς ἐκκλησίας λέγω, προσαν. C. διὰ τῶν BE. ἐκκλησεκδίκων E. 18. φιλανος θ̄ BE. 22. ἔμφοβος fehlt in AC. 23. βιταλίου εἰποῦσιν εἰπὼν οὕτως παυσ. C.

αὐτούς· Παύσασθε ἐκ τοῦ συκοφαντεῖν τοὺς μοναχοὺς ἢ οὐκ οἴδατε, τί περὶ τοῦ ἐν ἁγίοις Κωνσταντίνου τοῦ βασιλέως τὰ κατ' αὐτὸν συγγράμματα περιέχουσιν, ὅτι, φησὶν, τινὲς μὴ φοβούμενοι τὸν θεὸν μετὰ τὸ τελεσθῆναι τὴν ἁγίαν σύνοδον τὴν ἐν Νικαίᾳ, ἤρξαντο κατ' ἀλλήλων δίδειν φάμουσα τῷ μακαρίῳ βασιλεῖ οἱ μὲν κληρικοὶ ὄντες, οἱ δὲ μοναχοί, καὶ συνοψίσας ὁ ἅγιος τοῦ θεοῦ Κωνσταντῖνος τὸν κατήγορον καὶ τὸν κατηγορούμενον, ἀμφοτέρων ἤκουσεν; καὶ ὡς εὗρεν τὰς πολλὰς τῶν τοιούτων διαβολῶν ἀληθεῖς οὔσας, ἐνέγκας ἅπτοντα κηρὸν, ἔκαυσεν πάντα τὰ δοθέντα αὐτῷ φάμουσα εἰπών· Ὄντως τοῖς οἰκείοις ὀφθαλμοῖς εἰ εἶδον ἱερέα τοῦ θεοῦ ἢ τινα τῶν τὸ μοναχικὸν σχῆμα περιβεβλημένων ἁμαρτάνοντα, τὴν χλαμύδα μου ἂν ἤπλουν καὶ ἔσκεπον αὐτὸν, ἵνα μὴ ὁραθῇ ὑπό τινος. καὶ εἰς τὸν δοῦλον δὲ τοῦ θεοῦ τὸν εὐνοῦχον οὕτω ἐνομίζετε καὶ ἐβάλετέ με παρ' 304r ὁδὸν καὶ ἐποίησα τῇ ψυχῇ μου κρῖμα μέγα.' | ἐντρέψας οὖν μεγάλως αὐτοὺς, ἀπέλυσεν.

Ὁ δὲ δοῦλος τοῦ θεοῦ Βιτάλιος τῆς οἰκείας ἐργασίας οὐκ ἐπαύετο. παρεκάλει δὲ καὶ τοῦτο τὸν θεὸν· ὡς τισιν μετὰ θάνατον αὐτοῦ ἐφανέρωσεν ἐν ὀπτασίᾳ, ἵνα μὴ λογίσηται ἁμαρτίαν τοῖς σκανδαλιζομένοις εἰς αὐτὸν, ὅτι τὸ πρᾶγμα, ὃ ἔπραττέν, φησιν, εὐσκανδάλιστον ἦν καὶ οὐκ ἔσχεν ἄνθρω-

---

1. ἐκ fehlt in C. 2. τί fehlt in C. βασ. πῶσ τὰ C. 4. τελευθῆναι C. τὴν fehlt in BE. 5. κατ' ἀλλήλων fehlt in B. 5. διδόναι B. 5 (und 11) φάμουσα E. φαμοῦσα AB. Hinter ἀλλήλων hat C: λέγειν τῶ βασιλεῖ κληρικοὶ δῆλον ὅτι καὶ μοναχοί. 6. οἱ δὲ καὶ μοναχοὶ A. 7. συνοψήσασ ABE. τῶν κ—ων καὶ τῶν κ—ων A. 9. ὡσ fehlt in A. διαβολὰσ C. 10. ἐπενέγκασ BE. πάσασ τὰσ δοδείσασ αὐτῶ λοιδορίασ C. 11. ὄντωσ] ὅτι A. εἰ οἰκείοισ BE. εἰ vor εἶδον fehlt in BE. ἴδω E. 12. τὸν τὸ μονα C. 13. ἂν fehlt in AE. ἤπλων A. ἤπλωσα C. ἐσκέπαζον A. 14. δὲ fehlt in C. τοῦ θῦ οὕτωσ ἐνομίζετε λέγω δὴ τὸν εὐνοῦχον καὶ ἐβάλετε με E. τοῦ θῦ εὐνούχου οὕτωσ ἐνομίζετε καὶ ὑπεβάλετέ με C. 15. εὐνοῦχον τὸν μοναχὸν A. παρ' ὁδὸν fehlt in C. 16. κρῖμα περιπεσεῖν A. Die übrigen lassen περιπεσεῖν weg. 17. αὐτοὺσ μεγαλ. BEC.

19. κατὰ τοῦτο C. τισιν] τίσ οὖν A. 20. ἐν ὀπτασ. ἐφαν. BE. ἐν ὀπτ. φανερώσει C.

πος κρῖμα ἐξ ἐμοῦ, εἴ τι ἂν ἐλάλησεν. πολλὰς οὖν ἐκ τῶν τοιούτων γυναικῶν κατένυξεν ἡ ἐργασία αὐτοῦ, καὶ μάλιστα, ὅτε ἔβλεπον αὐτὸν τῇ νυκτὶ, ἐκτείνοντα τὰς χεῖρας καὶ εὐχόμενον ὑπὲρ μιᾶς ἑκάστης. διὸ καὶ αἱ μὲν τοῦ πορνεύειν ἐπαύοντο, αἱ δὲ ἐλάμβανον ἄνδρας καὶ ἐσωφρόνουν, αἱ δὲ καὶ παντελῶς τὸν κόσμον ἀφίουσαι τὸν μονήρη βίον μετήρχοντο. οὐδεὶς μέντοι ἔγνω ἕως τῆς αὐτοῦ κοιμήσεως, ὅτι ἐκ τῆς αὐτῆς νουθεσίας καὶ εὐχῆς τὰ ἄσεμνα γύναια τοῦ πορνεύειν ἐπαύοντο.

Ὅθεν ἐν μιᾷ ἐξερχομένου αὐτοῦ ἐκ τῆς πρώτης τῶν τοιούτων γυναικῶν εἰς τὸ αὖγος, ὑπαντᾷ αὐτῷ τις ἄνθρωπος ἀκάθαρτος εἰσερχόμενος εἰς τὸ πορνεῦσαι μετ' αὐτῆς. καὶ ὡς εἶδεν αὐτὸν, λέγω δὴ τὸν ὅσιον Βιτάλιον, ἐξ αὐτῆς ἐξερχόμενον, δέδωκεν αὐτῷ κόσσον εἰπὼν πρὸς αὐτόν· Ἕως ποτὲ, κακέσχατε χριστεμπαῖκτα, οὐκ ἐνδίδεις τῶν πραγμάτων σου;' ὁ δὲ εἶπεν πρὸς αὐτόν· Πίστευσον, λαμβάνεις κόσσον, ταπεινὲ, ἵνα πᾶσα ἡ Ἀλεξάνδρεια συναχθῇ εἰς τὰς κραυγάς σου.' οὕπω οὖν ὀλίγος χρόνος παρῆλθεν καὶ ἐκοιμήθη ἐν εἰρήνῃ ἐν τῷ κελλίῳ αὐτοῦ ὁ ἅγιος Βιτάλιος, μηδενὸς ὅλως νοήσαντος. εἶχεν γὰρ μικρὸν πάνυ κέλλιον ἐπὶ τὴν λεγομένην πύλην τοῦ Ἡλίου, ὅθεν καὶ πολλάκις συνάξεως ἐπιτελουμένης εἰς τὴν πλήσιον τοῦ κελλίου αὐτοῦ ἐκκλησίαν τοῦ ἁγίου Μητρᾶ, συναγόμενά τινα τῶν γυναίων τούτων πρὸς ἀλλήλας ἔλεγον· Ἄγωμεν, ἄγωμεν· πάλιν ὁ ἀββᾶς Βιτάλιος σύναξιν ἔχει·' καὶ ἐρχομένων αὐτῶν ἐθεράπευεν αὐτάς.

Κοιμηθέντος οὖν αὐτοῦ ὡς προείρηται ἐν τῷ ἰδίῳ κελλίῳ καὶ μηδενὸς νοήσαντος, εὐθέως παρίστα|ταί τις δαίμων ὡς 304v

---

1. ἐξ ἐμοῦ fehlt in BE. ξένου C. δ' ἂν BE. 2. κατήνυξεν E. 3. τῇ νυκτὶ ἐκείνῃ A. 5. ἔμεν B. 6. καὶ fehlt in A. ἀφοῦσαι A. 7. μέντοι] δὲ BE. 8. αὐτῆσ] αὐτοῦ E. καὶ εὐχῆσ fehlt in C. 10. ἐν fehlt in A. 11. γυναικῶν fehlt in C. ἁπαντᾶ E. 14. αὐτὸν E. 16. σου τῶν πονηρῶν C. 19. ὅσιοσ BE. ὁ ἅγ. Βιτ. ἐν τῶ κ. αὐτοῦ C. 21. πύλην τ. Ἡ. AC. τοῦ Ἡ. πύλην BE. 23. μητρὰ A. Metrae Anast. μηνᾶ die übrigen. 24. βιτάλισ C. βιττάλιοσ A.

αἰθίοψ κακοειδὴς τῷ δεδωκότι τὸν κόσσον τῷ ἀββᾶ Βιταλίῳ καὶ δίδει αὐτῷ κόσσον λέγων· 'Δέξαι τὸν κόσσον ὃν ἔπεμψέν σοι ὁ ἀββᾶς Βιτάλιος.' καὶ πεσὼν εὐθέως ἤρξατο ἀφρίζειν. συνήχθη οὖν κατὰ τὴν προφητείαν τοῦ ἀββᾶ Βιταλίου σχεδὸν πᾶσα ἡ Ἀλεξάνδρεια εἰς τὴν βίαν ἣν ἔπασχεν ὑπὸ τοῦ δαίμονος, καὶ μάλιστα ὅτι καὶ τὸν κτύπον τοῦ δοθέντος αὐτῷ κόσσον ἤκουσάν τινες, ὡς ἐπὶ σαγιττοβόλου. μετὰ ἱκανὰς οὖν ὥρας ἀνανήψας ὁ πάσχων διέρρηξεν τὰ ἱμάτια τοῦ στήθους αὐτοῦ καὶ ἔτρεχεν ἐπὶ τὸ κέλλιον τοῦ ὁσίου κράζων καὶ λέγων· 'Ἐπταισά σοι, δοῦλε τοῦ θεοῦ, Βιτάλιε, ἐλέησόν με,' συνέτρεχον δὲ καὶ πάντες οἱ ἀκούσαντες, καὶ ὡς ἔφθασε τὸ κέλλιον τοῦ ὁσίου, ἐξῆλθεν πάλιν ὁ δαίμων ῥίψας αὐτὸν πάντων θεωρούντων. καὶ ὡς εἰσῆλθον ἔνδον οἱ συνακολουθήσαντες, εὗρον τὸν ὅσιον ἱστάμενον εἰς τὰ ἑαυτοῦ γόνατα καὶ εὐχόμενον καὶ τῷ κυρίῳ τὴν ψυχὴν παραθέμενον καὶ εἰς τὸ ἔδαφος ἐπιγραφὴν τοιαύτην· 'Ἄνδρες Ἀλεξανδρεῖς, μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ κύριος'. ἐξωμολογεῖτο δὲ καὶ ὁ ἄνθρωπος ὁ δαιμονισθεὶς τὸ τί ἦν ποιήσας τῷ ὁσίῳ καὶ τί ὁ ὅσιος εἶπεν αὐτῷ.

Προσανηνέχθη οὖν τῷ μακαριωτάτῳ Ἰωάννῃ τῷ πάπᾳ πάντα τὰ κατὰ τὸν ὅσιον Βιτάλιον, καὶ κατελθὼν μετὰ τοῦ κλήρου ἦλθεν ἐπὶ τὸ λείψανον τοῦ ὁσίου Βιταλίου, καὶ ὡς εἶδεν τὴν ἐπιγραφὴν εἶπεν· 'Ὄντως ταύτην ὁ ταπεινὸς Ἰωάννης διὰ τοῦ θεοῦ ἐξήλησεν, ἐπεὶ τὸν κόσσον ὃν ἔλαβεν ὁ παθὼν, ἐγὼ ἐλάμβανον.' τότε οὖν πᾶσαι αἱ πόρναι καὶ αἱ ἀποταξάμεναι ἐξ αὐτῶν καὶ αἱ λαβοῦσαι ἄνδρας μετὰ κηρῶν

---

1. τὸν fehlt in B. βιτταλίω A. 2. δίδη A. δίδει C. δίδωσιν BE. 4. βητταλίου A. 5. ἡ fehlt in E. ἀλεξάνδρειαν στὴν corr. die erste Hand in ἀλεξάνδρεια εἰσ τὴν E. 6. καὶ — κτύπον fehlt in A. 7. ὡσ fehlt in ABE. ἐπὶ] ἀπὸ BE. σαγιτοβόλου BCE. σαγητοβόλου A. 8. ἀνανίψασ C. 9. ἑαυτοῦ A, aber das ε ist von zweiter Hand zugesetzt. τοῦ στήθουσ fehlt in BE. 10. βιτάλιε A. 11. καὶ vor πάντ. fehlt in AC. ἀκούοντεσ B. 12. ἔφθασαν AC. 15. τὴν ψυχ. τῶ θῶ C. παραθέμενοσ E. 17. τι fehlt in B. 20. μακαρίω ταῦτα C. 21. πάντα fehlt in C. ὅσιον] μακάριον BE. 22. βιταλίου fehlt in BE. 24. ἐπὶ A.

καὶ λαμπάδων προεκόμιζον αὐτὸν κλαίουσαι καὶ λέγουσαι· 'Ἀπωλέσαμεν τὴν σωτηρίαν ἡμῶν καὶ τὴν διδαχήν'. ἐξηγοῦντο γὰρ λοιπὸν τὴν πολιτείαν αὐτοῦ πᾶσιν, καὶ ὅτι οὐ δι' αἰσχρὸν πρᾶγμα πρὸς ἡμᾶς εἰσήρχετο, καὶ ὅτι οὐδέποτε εἴδομεν αὐτὸν ἐπὶ πλευρὰν κοιμηθέντα ἢ μίαν ἐξ ἡμῶν κρατήσαντα τῇ χειρὶ αὐτοῦ, καὶ μεμφομένων αὐτάς τινων καὶ λεγόντων ὅτι 'Διὰ τί ταῦτα πᾶσιν οὐκ ἐλέγετε, ἀλλ' ἐ|σκανδαλίζετο εἰς αὐτὸν πᾶσα ἡ πόλις;' ἐξηγοῦντο λοιπὸν τὸ κατὰ τὴν δαιμονισθεῖσαν κεφάλαιον, καὶ ὅτι τοῦτο ἡμεῖς φοβούμεναι ἐσιωπῶμεν. ταφέντος οὖν αὐτοῦ ἐν πολλῇ τιμῇ, ἔμεινεν ὁ ὑπ' αὐτοῦ παιδευθεὶς καὶ ἰαθεὶς, ποιῶν τὸ μνημόσυνον αὐτοῦ. ὕστερον δὲ καὶ ἀπετάξατο εἰς τὸ μοναστήριον αὐτοῦ τοῦ ἀββᾶ Σερίδωνος ἐν Γάζῃ καὶ ἔλαβεν τὸ κέλλιον τοῦ ἀββᾶ Βιταλίου κατὰ πίστιν, καὶ εἰς αὐτὸ ἔμεινεν ἕως τῆς τελευτῆς αὐτοῦ. 305r

Καὶ ὁ ὁσιώτατος δὲ πατριάρχης πολλὰ ηὐχαρίστησεν τῷ θεῷ, ὅτι οὐ συνεχώρησεν αὐτὸν ἁμαρτῆσαι εἰς τὸν δοῦλον αὐτοῦ Βιτάλιον· πολλοὶ δὲ πολλὰ ἔκτοτε ἐν Ἀλεξανδρείᾳ ὠφελήθησαν καὶ ἐξενοδόχουν τοὺς μοναχοὺς καὶ ἠσφαλίζοντο τοῦ μὴ κατακρίνειν ὡς ἔτυχέ τινα παρ' αὐτῶν. ἐποίησεν δὲ καὶ ἰάσεις μετὰ θάνατον τὸ τίμιον μνῆμα τοῦ ὁσίου Βιταλίου διὰ τῆς θείας χάριτος, οὗ ταῖς εὐχαῖς δῴη ἡμῖν ὁ κύριος ἀγαθὴν πολιτείαν καὶ ἔλεος ἐν ἡμέρᾳ, ὅτε φανερώσῃ τὰ κρυπτὰ τῶν ἀνθρώπων καὶ γυμνώσῃ τὰς βουλὰς τῶν καρδιῶν.

Cap. XXXVII. Ἐπιτρέψας ποτὲ ὁ ὅσιος δοθῆναί τινι

---

1. οὐαὶ ἡμῖν ὅτι ἁπ. BE. 3. αὐτοῦ λοιπὸν BE. λοιπὸν fehlt in C. πάσαν E. 4. δι' αἰσχρῶν πραγμάτων C. 5. πλευρὰ A. 6. τινῶν] πάντων BE. 7. οὐ πᾶσιν BE. 9. καὶ τὸ A. 11. καὶ ἰαθεὶς fehlt in C. 12. αὐτοῦ fehlt in AE. τοῦ ἁγίου σερίδωνος E. 14. κατὰ πίστιν fehlt in E. ἔμεινεν ἐν αὐτῷ C. 15. τῆς αὐτοῦ τελ. BC. 16. δὲ fehlt in A. τὸν θῦ BC. 17. αὐτῷ BE. 19. ὠφελέθησαν A. 21. βιτταλίου A. 22. χάριτος τοῦ κῦ ἡμῶν ἰῦ χῦ BE. εὐχ. καὶ πρεσβείαις. BE. ὁ κ̄ω̄] κ̄ω̄ E. 23. ἔλεος εὑρεῖν BE. ἡμ. κρίσεως BE. φανερώσει E. 24. γυμνώσει CE. 26. ΑΖ C. ΑΗ B.

αἰτήσαντι εὐποιΐαν δέκα φόλλεις μόνον, ὑβρίζετο ὑπ' αὐτοῦ κατὰ πρόσωπον χαλεπῶς ὁ μακάριος, ὡς μὴ δεδωκὼς αὐτῷ ὅσα ἤθελεν. τῶν δὲ τοῦ ὀψικίου ζητούντων δῆραι τὸν ὑβρίσαντα, ἐπετίμησεν τούτοις σφοδρῶς ὁ πάπας εἰπών· 'Ἐάσατε αὐτὸν, ἀδελφοί. ἔχω ἐγὼ ἑξήκοντα ἔτη ὑβρίζων διὰ τῶν ἔργων μου τὸν Χριστὸν καὶ μίαν ὕβριν οὐ βαστάξω ἐξ αὐτοῦ;' καὶ ἐπέτρεψεν τῷ διαδότῃ λῦσαι τὸ προχείριον αὐτοῦ καὶ ἐᾶσαι τὸν πτωχὸν ἐπᾶραι ὅσον ἤθελε λογάριν.

Cap. XXXVIII. Ἐν μιᾷ δέ ποτε ἤκουσεν ὁ πάνσοφος ὅτι ἐλεήμων ὑπάρχει ὁ δεῖνα, μεταστέλλεται αὐτὸν ἐν ἱλαρότητι κατ' ἰδίαν καὶ λέγει αὐτῷ· Πῶς ἐγένου ἐλεήμων, ἐκ φύσεως ἢ ἑαυτὸν βιασάμενος;' ὅθεν οἱ μὲν τῶν ἐρωτωμένων ὑπ' αὐτοῦ αἰδούμενοι ἔκρυβον, οἱ δὲ ἔλεγον αὐτῷ· δι' ὃ εἷς ἐπερωτηθεὶς ὑπὸ τοῦ ὁσίου ἀπεκρίνατο οὕτως· Πίστευσον, δέσποτα, ὅτι οὐδὲν δίδω οὐδὲ ποιῶ ἀγαθόν· πλὴν δὲ αὐτὸ 305v τοῦτο ὃ ποιῶ καὶ παρέχω, | ἐξ ὧν ὁ Χριστὸς καὶ αἱ εὐχαί σου χορηγοῦσιν, οὕτως ἐσυνήθισα. ἤμην πρώην πάνυ ἄσπλαγχνος καὶ ἀσυμπαθὴς, καὶ ἐν μιᾷ ἐφύρασα καὶ ἐστενώθην. ἤρξατο οὖν ὁ λογισμός μου λέγειν μοι· Ὄντως ἐὰν ὑπῆρχες ἐλεήμων, οὐκ ἐγκατελίμπανέν σε ὁ θεός'. ὥρισα οὖν ἡμέριον διδόναι πέντε φόλλεις τοῖς πτωχοῖς. καὶ ὡς ἠρχόμην δοῦναι, εὐθέως ὁ σατανᾶς ἐνέκοπτέν με λέγων· Ὄντως αἱ πέντε φόλλεις αὗται ἀρκοῦσιν τῷ οἴκῳ εἰς λάχανον ἢ εἰς βαλανικόν,' καὶ λοιπὸν εὐθέως ὡς ἵνα ἐκ τῆς γούλας

---

1. φόλεισ CE φόλισ A, auch im Folgenden haben die Handss. nur ein λ. παρ' αὐτοῦ C. 3. τοῦ δὲ ὀψ. δῆραι τοῦτον βουλη θέντοσ ἐπετ. C. ὑβρίζοντα A. 4. ὁ παπ. σφ. C. 5. αὐτὸν ἀδελ/ Hier bricht mit fol. 442 cod. B. ab und fol. 443 beginnt wieder: τοῦτο προεφασισάμην (Cap. XLIV S. 90, 11) ἔχω ὑβρίζων E. 6. τῶ χῶ E. 7. αὐτοῦ fehlt in CE. 8. θέλει C. λογάρην A.

9. ΛΗ C. εἴποτε δὲ ἤκ. CE. 10. μετεστέλλετο CE. 11. ἔλεγεν CE. ἐκ φ. ἐλε. C. 13. αὐτῷ fehlt in E. εἷσ δὲ ὑπὸ τ. ὁσίου ἐρωτηθεὶσ C. 14. ὑπὸ] παρὰ E. 15. αὐτῶ A. 16. ὃ fehlt in C. ὁ χσ̄] ὁ θσ̄ E. 17. ἐσυνήθησα AC. συνήθησα E. 20. ἐγκατελείμπανεν A. ὥρισα] ἐθέμην C. 21. ὡσ ἔθοσ διδεὶν ἔλαβον C. 22. με λέγων] μοι λέγειν E. 23. οἴκω σου E. 24. ἢ] καὶ E. εὐθέωσ ἐστέρουν αὐτὰ μηδὲν παρασχών C. τῆσ γούλασ fehlt in E.

τῶν τέκνων μου ἐστέρουν αὐτὰ, οὐδὲν ἐδίδουν. ὡς οὖν εἶδον, ὅτι νικῶμαι ὑπὸ τοῦ πάθους, λέγω τῷ παιδίῳ μου· "Ἡμέριον ἵνα κλέπτῃς, ἐμοῦ μὴ νοοῦντος, πέντε φόλλεις καὶ δίδῃς εἰς εὐποιΐαν·" εἰμὶ γὰρ τραπεζίτης, δέσποτα. ἐκεῖνος δὲ καλῶς ποιῶν ἤρξατο κλέπτειν δέκα, ἔστιν δὲ ὅτε καὶ κεράτιν. ὡς εἶδεν οὖν, ὅτι εὐλογήθημεν, ἤρξατο καὶ τριμίσια κλέπτειν καὶ δίδειν. ἐν μιᾷ οὖν θαυμάσας τὰς εὐλογίας τοῦ θεοῦ, εἶπον αὐτῷ· "Οντως, πολὺ ὠφέλησαν, τέκνον, αἱ πέντε φόλλεις. θέλω οὖν, ἵνα δίδῃς δέκα.' τότε λέγει μοι καὶ ὁ παῖς μειδιῶν· "Ὑπαγε, εὔξαι ταῖς κλεψοσύναις μου, ἐπεὶ ὄντως σήμερον οὐκ εἴχομεν ἵνα φάγωμεν ἄρτον. ἀλλ' ἐάν ἐστι κλέπτης δίκαιος, ἐγώ εἰμι.' τότε οὖν εἶπεν, ὅτι καὶ τριμίσια ἐδίδει καὶ κεράτια. καὶ λοιπὸν ἐκ τῆς πίστεως ἐκείνου ἐσυνήθισα, δέσποτα, δίδειν ἀπὸ ψυχῆς.' οἰκοδομηθεὶς οὖν ὁ ὅσιος πάνυ, εἶπεν πρὸς αὐτόν· 'Πίστευσον, πολλὰ πατερικὰ ἀνέγνων. τίποτε τοιοῦτον οὐκ ἤκουσα.'

Cap. XXXIX. *Μνησικακοῦντά τινα τῶν ἐμφανῶν πρὸς ἄλλον ἄρχοντα ἀκούσας οὗτος ὁ μέγας Ἰωάννης, νουθετήσας πολλάκις, πεῖσαι αὐτὸν οὐκ ἠδυνήθη διαλλαγῆναι αὐτῷ. ἐν μιᾷ οὖν πέμπει καὶ φέρει αὐτὸν ὁ ὅσιος ὡς χάριν δημοσίου πράγματος. καὶ ποιεῖ σύναξιν ἐν τῷ εὐκτηρίῳ αὐτοῦ μηδένα ἔχων, εἰ μὴ τὸν σύγκελλον αὐτοῦ. ὡς οὖν ἡγίασεν ὁ πάπας καὶ ἐξεφώνησεν τὴν εὐχὴν τοῦ 'Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς', ἤρξαντο λέγειν οἱ τρεῖς τὸ 'Πάτερ ἡμῶν'.*

---

2. *ἴδον* AC. 2. *νηκοῦμαι* A. *πάθουσ*] *δαίμονοσ* E. *παιδὶ* C. *τὸ παιδίον* E. 3. *φόλησ* E. 4. *δίδεισ* C *δίδησ* E. *δίδην* A. 4. *ἤμην* C. 5. *δέκα δέκα* C. *δέκα φόλεισ* E. *κεράτιον* CE. *κεράτειν* A. 6. *ἰδὼν οὖν* C. *ὡσ οὖν ἴδεν* E. *τριμήσια* C. *τριμίσσια* E. 8. *οὕτωσ* C. 9. *θέλω οὖν ἵνα ἀπὸ τοῦ νῦν ἵνα δίδησ ῑ* E. 10. *καὶ* fehlt in CE. 11. *ἵνα φάγ.* fehlt in AE. 12. *δίκαιοσ πού ποτε* E. 13. *τριμήσια* C. *τριμίσσια* E. *δίδη* A. *ἐδίδουν* E. 14. *ἐσυνήθησα* AC. *συνήθησα* E. *δίδην* A. *διδόναι* E. 15. *πάνυ ἐκ τῆσ τοιαύτησ ψυχωφελοῦσ διηγήσεωσ εἶπεν κτλ.* E. *πίστευσον, ἀδελφέ* E.

17. *ΛΘ* C. 18. *ὁ μέγ. οὗτ.* C. *καὶ νουθ.* E. 19. *ἠδυνήθην* C. 23. *τοῦ*] *τὸ* C. 24. Hinter *οὐνοισ* fährt E so fort: *καὶ ἤρξαντο λέγειν οἱ τρεῖσ ὡσ ἔφθασαν εἰσ τὸ· ἄφεσ κτλ.*

306r καὶ ὡς ἔφθασαν εἰς τὸν λόγον τοῦ Ἄφες | ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν', νεύει τῷ συγκέλλῳ ὁ πατριάρχης, ἵνα σιωπήσῃ· ἐσιώπησεν δὲ καὶ αὐτὸς ὁ πάπας καὶ ἔμεινεν ὁ ἄρχων μόνος λέγων τὸν στίχον τοῦ Ἄφες ἡμῖν, ὡς καὶ ἡμεῖς ἀφίομεν'. καὶ εὐθέως στραφεὶς ὁ ὅσιος λέγει αὐτῷ πραείᾳ τῇ φωνῇ· Βλέπε, εἰς ποίαν φρικτὴν ὥραν τι λέγεις τῷ θεῷ, ὅτι ὥσπερ ἐγὼ ἀφῶ, οὕτως καὶ σὺ ἄφες μοι'. ὡς ὑπὸ πυρὸς οὖν εὐθέως βασανισθεὶς, ὁ εἰρημένος ἄρχων ἔπεσεν ἐπὶ πρόσωπον εἰς τοὺς πόδας τοῦ ὁσίου λέγων· Ὅσα κελεύεις ὁ κῦριος, ποιεῖ ὁ δοῦλός σου'. καὶ διηλλάγη ἔκτοτε τῷ ἐχθρῷ αὐτοῦ μετὰ πάσης ἀληθείας.

Cap. XL. Ὑπερήφανον δὲ πάλιν, εἰ ἐθεώρησέν τινα ὁ μακάριος, τοῦτον μὲν εἰς πρόσωπον οὐκ ἤλεγχεν. ὅταν δὲ αὐτὸν ἐν τῷ σεκρέτῳ αὐτοῦ καθήμενον ἔβλεπεν, παρεισέφερεν περὶ ταπεινοφροσύνης λόγους ἵνα διὰ τῆς τοιαύτης διδασκαλίας ὑποκρούσῃ τὸν ὑπερήφανον καὶ σωφρονίσῃ λέγων οὕτως· Θαυμάζω, κύριοι δεσπόται μου, πῶς οὐ μνημονεύει ἡ ἀθλία μου ψυχὴ τῆς ταπεινοφροσύνης, ἧς ὑπέδειξεν ἡμῖν ἐπὶ τῆς γῆς ὀφθεὶς ὁ υἱὸς τοῦ θεοῦ, ἀλλ' ὑπερφυσῶμαι καὶ ὑπεραίρομαι τοῦ ἀδελφοῦ μου, ἐάν εἰμι μικρὸν ἢ εὐειδέστερος αὐτοῦ ἢ πλουσιώτερος ἢ ἐνδοξότερος ἢ ἀρχὴν ὀφφικίου τινὸς ἔχων, μὴ ἐννοούμενος τὴν θείαν φωνὴν τὴν λέγουσαν· Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾳός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν'. μηδὲ τὰς τῶν ἁγίων φωνὰς λογιζόμενος, ὅτι ὁ μὲν γῆν καὶ σπο-

2. ἀφίωμεν E. 3. ὁ πριάρχησ AE. 4. ὁ πάπασ C. 5. τοῦ] τὸ E. ἀφιέμεν E. 6. βλέπε, ἀδελφέ E. 7. ἀφίω E. οὕτω CE. 8. οὕτοσ καί σοι A. 10. κίρισ A.

13. M̄C. 15. παρείσφερεν A. παρέφερε E. διδασκαλίασ] ὑ̃περηφανίασ E, aber am Rande steht nichts. 17. σωφρονήση AEC. 18. κύριοι καὶ δ. C. κύριοι μου καὶ δεσπόται E. 19. τῆσ fehlt in C. 20. ὁ ὀφθεὶσ νσ E. ἀλλὰ C. ὑπερφυσοῦμαι A. 21. ἐὰν ἄρα E. μικρὸσ C. 23. τινοσ ὀφφ. E. ἔχω C. ἐννοῶν E. 24. Matth. XI 29. 25. εὑρήσητε E. ἡμῶν A. ἡμῖν E, aber ω hat die erste Hand darüber gesetzt. 26. Jes. Sir. XVII 32

δὸν, ὁ δὲ σκώληκα καὶ οὐκ ἄνθρωπον, ὁ δὲ ἰσχνόφωνον καὶ βραδυγλώσσους ἑαυτοὺς ὠνόμαζον, καὶ ὅτι καὶ ὁ Ἡσαΐας ὅτε τὸν θεὸν ἰδεῖν ἠξιώθη, ὡς χωρεῖ ἄνθρωπος, τότε ἀκάθαρτα χείλη ἔχοντα ἑαυτὸν ἀπεφήνατο· ‘τί γὰρ καί εἰμι ὁ ταπεινός; οὐχὶ ἀπὸ πηλοῦ ἐπλάσθην, ὅθεν ἐστὶν καὶ ἡ πλίνθος; οὐχὶ πᾶσαν ἣν δοκῶ ἔχειν δόξαν, ὡς ἄνθος χόρτου μαραίνεται;’ τούτοις οὖν καὶ τοῖς τοιούτοις καὶ ἄλλοις πλείοσιν λόγοις ὁ σοφώτατος, ὡς δῆθεν περὶ | ἑαυτοῦ λέγων, τὸν τὴν 306ᵛ νόσον τῆς οἰήσεως καὶ ὑπερηφανείας ἔχοντα καυστηριάζων, ὠφέλει αὐτοῦ τὴν ψυχήν. ἐνόει γὰρ ὁ τὸ τραῦμα ἔχων, ὅτι περὶ αὐτοῦ ὁ πατριάρχης αἰνίττεται.

Cap. XLI. Καὶ τοῦτο δὲ συνεχῶς ὁ θεοτίμητος προέφερεν εἰς μέσον εἰς ταπεινοφροσύνης ὑπόθεσιν, ὅτιπέρ φησιν· Εἰ ἐνενοούμεθα καὶ ἐλογιζόμεθα τὴν τοῦ θεοῦ περὶ ἡμᾶς εὐσπλαγχνίαν καὶ ἀγαθότητα, οὐδὲ εἰς τοὺς οὐρανοὺς ἐκουφίζομεν τοὺς ὀφθαλμοὺς ἡμῶν ἀλλὰ διὰ παντὸς ἐν ταπεινῷ σχήματι καὶ φρονήματι διήγομεν. ἵνα γὰρ παρίδω τὸ πῶς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγεν ὁ πλάστης καὶ τῇ ἁμαρτίᾳ καὶ τῇ παρακοῇ πλανηθέντας πάλιν ἀνεζήτησεν καὶ τῷ ἰδίῳ αἵματι ἐξηγόρασεν ἐκ τοῦ θανάτου καὶ πᾶσαν τὴν γῆν καὶ αὐτὸν τὸν οὐρανὸν εἰς ὑπηρεσίαν τῶν ἀνθρώπων ἔταξεν, ἀλλὰ καὶ νῦν πῶς ἁμαρτάνοντας οὐκ ἐξολοθρεύει, ἀλλὰ μακροθυμεῖ ἡ ἀκίνητος ἐκείνη φύσις καὶ ὁ ἀνεξίκακος ἐκεῖνος ὀφθαλμός; καὶ ἡμῶν πολλάκις βλασφημούντων αὐτὸς παρακαλεῖ καὶ κολακεύει διὰ τῆς οἰκείας

1. Psalm. XXI 7; Exod. IV 10. ὁ δὲ] καὶ C. οὐχ ἁνον E. ἰσκνόφωνον C. ἰσχνώφονον A. βραδύγλωσσον καὶ ἰσχνόφωνον E. 2. ὁ Ἡσαΐας] ἡσαίας E. Esaïas VI 5. 3. ὡσ — ἄνθρ. fehlt in E. 5. vgl. Iob. X 9. 6. Esaïas XL 6; I. Petri I 24. δοκῶν A. 8. ἑαυτοῦ] αὐτοῦ A. λέγων] λέγειν E. 9. οἰήσεωσ E. φύσεωσ A. οἰήσ. καὶ fehlt in C. 9. ἔχοντα] ἔχων A. 10. τὸ τραῦμα] τραῦμα A C. τρ. τοιοῦτον C. 11. ἐνίττεται E.

12. *MA* C. Das Folgende fehlt in A; denn hinter αἰνίττεται fol. 306ᵛ folgt sogleich πάλιν δὲ καὶ περὶ τῆσ ἁγίασ κτλ. (Cap. XLII S. 83, 16). προέφερεν E προσέφ. C. 13. ὅτι περ φησὶν fehlt in C. dicens An. 17. καὶ φρονήματι fehlt in C. 18. ὄντωσ C. εἰσ τὸ εἶναι fehlt in C. ut essemus An. 19. ἁμαρτία παρακοὴ E. 22. οὐκ ἁμαρτ. ἐξωλόθρευσεν C. 23. ἐκεῖνοσ fehlt in E.

φιλανθρωπίας ἄνωθεν ὑετοὺς πρὸς τὴν ἡμετέραν ζωὴν ἐπιχορηγῶν. πόσους κακούργους ὑπάγοντας φονεῦσαι ἢ κλέψαι σκέπει καὶ οὐ παραδίδει πιασθῆναι καὶ τιμωρηθῆναι; πόσους ὄντας εἰς τὰ πλοῖα εἰς τὸ πέλαγος ἐπὶ τὸ πειρατεύειν τὰ ἁπαντῶντα αὐτοῖς πλοῖα καὶ φονεύειν τοὺς ἐν αὐτοῖς ὄντας καὶ οὐ συγχωρεῖ τῷ βυθῷ παραπεμφθῆναι, ἀλλ' ἐπιτιμᾷ τῇ θαλάσσῃ τοῦ μὴ καταπιεῖν αὐτούς, ἐκδεχόμενος τὴν ἐπιστροφὴν τῆς κακίας αὐτῶν. πόσοι ἐπιορκοῦσιν τὸ σῶμα καὶ τὸ αἷμα αὐτοῦ τὸ ἄχραντον, καὶ ἀνέχεται καὶ μακροθυμεῖ μὴ ἀποδιδοὺς αὐτοῖς ἐνθάδε τι δυσχερές. πόσους ἐν ὁδῷ λῃστεύοντας οὐ παραδίδει εἰς βρῶσιν τοῖς συναντῶσιν αὐτοῖς θηρίοις; πόσους ὑπάγοντας εἰς διορυγὰς ἢ εἰς ὁδοστασίας σκέπει τοῦ μὴ ἀναλωθῆναι ὑπὸ τῶν φυλαττόντων κυνῶν ἢ καὶ ἀνθρώπων; καὶ ἐμοῦ ἔσθ' ὅτε ἢ μετὰ τῆς πόρνης ἀνακειμένου ἢ μετὰ μεθυόντων ἢ αἰσχρολόγων συνδιάγοντος ἢ τῇ λοιπῇ ἁπλῶς τοῦ βίου ἁμαρτίᾳ συγκειμένου, ἡ μὲν μέλισσα περισπᾶται καὶ τὰς κοιλάδας καὶ τὰς φάραγγας περιέρχεται, ἐπιζητοῦσα συνάξαι μοι καρπὸν, ἵνα γλυκάνῃ τὸν λάρυγγα, τὸν αἰσχρὰ καὶ ἀκάθαρτα φθεγγόμενον, ἡ δὲ σταφυλὴ σπεύδει διὰ τοῦ καύματος πεπανθῆναι, ἵνα ἐμπλήσῃ στόμα καὶ εὐφράνῃ καρδίαν, τὴν τοῦ ποιητοῦ παρακούσασαν. τὰ ἄνθη ἄλληλα κατατρέχουσιν, ἵνα τέρψωσιν τοὺς ὀφθαλμοὺς τοὺς ταῖς πορνείαις καὶ ταῖς ἀλλοτρίαις γυναιξὶν εἰς ἀσωτίαν νεύοντας. ἡ συκῆ θορυβεῖ, ἵνα φθάσῃ θεραπεῦσαι

---

3. πιασθῆναι] πρισθῆναι (sic) E. 4. εἰσ πλοῖα E. ἐπὶ τὸ] ἐπὶ τὰ (sic) E. 5. τοῖσ (sic) ἐν αὐτοῖσ ὄντασ E. 6. καὶ fehlt in E. τῷ β. παρ. οὐ συγχ. C. 8. κακίασ] malitiae An. καρδίασ C. 10. ἀποδιδοὺσ] reddens An. ἀποδιδόναι τοῖσ C. 11. παραδιδεῖ C. συναντοῦσιν EC. 12. ὑπάγοντασ διορυγὰσ ἢ ὁδοστασίασ κατεργάσασθαι C. 13. σκέπῃ C. 15. τῶν μεθ. C. 16 συγκειμένου] προσκαθημένου E. Hinter προσκαθημένου fährt E fort: οὐκ ἀναιρεῖ καὶ πατάσσει, ἀλλὰ μακροθυμεῖ καὶ ἀνέχεται. ὅθεν ἡ μὲν κτλ. fehlt in C und bei An. 17. τοὺσ φ. C. 19. ἡ δὲ — 21. παρακούσασαν fehlt in E. 20. σπεύδῃ C. 21. εὐφρανεῖ C. 22. ὁμοίωσ καὶ τὰ ἄνθη E. 23. εἰσ ἀσωτίαν νεύοντασ C. ad luxuriam innunnt An. πρὸσ ἀσωτίαν νεύοντα E. ad lux. tunditur ms. Gemblac. 24. Hinter νεύοντα fügt E zu: ὁ δὲ ἀνοσ μόνοσ ἐκ πάντων τούτων ἀνοητενει χεῖρον. ἡ συκῆ — p. 81, 2 γυναῖκα fehlt in E.

τὴν χεῖρα διὰ τοῦ μεγέθους καὶ τὸ στόμα διὰ γλυκύτητος, τὰ κρατοῦντα καὶ καταφιλοῦντα τὴν ἀλλοτρίαν γυναῖκα. τοιαῦτα οὖν ἔργα, ὦ ἀδελφοὶ, πράττοντές,' φησιν, 'καὶ τοιαύτας εὐεργεσίας ἀντιλαμβάνοντες παρὰ τοῦ φιλανθρώπου θεοῦ, ποῖον ὀφείλομεν ἔχειν φρόνημα, ἐννοούμενοι τὴν ἐσχάτην ἡμῶν καὶ φρικτὴν ὥραν;' πολλὰ γὰρ καὶ περὶ μνήμης θανάτου καὶ ἐξόδου ψυχῆς διελέγετο ἀεὶ ὁ μακάριος, ὥστε διαφόρως εἰσέρχεσθαί τινας πρὸς αὐτὸν ἐν ὑπερηφάνῳ σχήματι καὶ γελῶντι προσώπῳ καὶ ἀπονενοημένῳ ὀφθαλμῷ καὶ ἐξέρχεσθαι ἐν ταπεινῷ ἤθει καὶ κατανενυγμένῳ προσώπῳ καὶ δακρύουσιν ὀφθαλμοῖς. διὸ καὶ ἔλεγεν ὅτι 'Ὡς νομίζω ἐγὼ ὁ ταπεινὸς, ἀρκεῖ εἰς σωτηρίαν τὸ συνεχῶς καὶ ἐμπόνως λογιζομένῳ τὸν θάνατον καὶ μεριμνῶντι, ὅτι οὐδεὶς ἡμῖν ἐν τῇ ὥρᾳ ἐκείνῃ συμπαθήσει ἢ συμπορεύσεται ἐκ τοῦ βίου τούτου, εἰ μὴ τὰ ἀγαθὰ ἡμῶν ἔργα. καὶ πῶς τῶν ἀγγέλων ἐρχομένων καὶ κατασπευδόντων θορυβεῖται τότε ἡ ψυχὴ, ἐὰν εὑρεθῇ ἀνέτοιμος; πῶς παρακαλέσει προστεθῆναι αὐτῇ ὀλίγον χρόνον ζωῆς καὶ ἀκούσεται· τί γὰρ τὸν καιρὸν ὃν ἔζησας, καλῶς ἐδαπάνησας;' Καὶ πάλιν ἔλεγεν ὡς περὶ ἑαυτοῦ· 'Πῶς ταπεινὲ Ἰωάννη, παρελθεῖν ἰσχύσεις τὰ θηρία τοῦ καλάμου, ὅταν ὡς τελῶναί σοι ἀπαντήσωσιν; οὐαὶ ποῖος φόβος καὶ τρόμος περιέχει τὴν ψυχὴν, τότε λογοθετουμένην ὑπὸ τοσούτων λογοθετῶν πικρῶν καὶ ἀνελεημόνων.' καὶ γὰρ πάνυ ἦν τῷ ἐν ἁγίοις τοῦτο σεσημειωμένον τὸ ὑπὸ τοῦ ἁγίου Συμεὼν τοῦ στυλίτου δι' ἀποκαλύψεως γνωρισθὲν, ὅτιπέρ φησιν·

---

3. φησιν fehlt in E. 6. ἡμῶν] ἡμέραν E. novissimam nostram An. ὥραν, καθ' ἣν μέλλει ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ταῦτα καὶ τὰ τούτοις ὅμοια πολλὰ διελέγετο ἀεὶ ὁ μακάριος καὶ περὶ μνήμης κτλ. E. 8. ἐν fehlt in C. 9. ἐξέρχεσθαι ἐξ αὐτοῦ E. 10. ἤθη C. 11. ὀφθαλμοῖς· ὅθεν καὶ περὶ ἑαυτοῦ πολλὴν φροντίδα καὶ μέριμναν ἐποιεῖτο ἀεὶ διὰ τὴν ἐκ τοῦ βίου αὐτοῦ ἔξοδον καὶ ἔλεγεν ὅτι κτλ. E. 13. μεριμνῶντι ἀεὶ E. 14. συμπαθήση C. συμπορεύσηται C. 15. εἰ μὴ] ἢ C. καὶ πῶσ] πῶσ γὰρ E. 16. θορυβεῖται] θορυβῆ C. 17. παρακαλέση C. 20. ἰσχύσης C. vgl. Psalm LXVII 31. 21. ὅταν ἀπαντῶσί σοι ἐν τῷ ἀέρι τελωνεῖα τελωνεῖα E. τε καὶ C. 22. τὴν σὴν τότε ψυ. περιέχει λογ. C. 24. τῷ ἐν ἁγίοις] τῶν ἐν ἄλλοις C. τούτω E. 25. δι' ἀπ. γνω.] ἀποκαλυφθὲν C.

Ἐξερχομένης τῆς ψυχῆς ἐκ τοῦ σώματος ἀπαντῶσιν αὐτῇ ὡς ἀνέρχεται ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν χοροὶ δαιμόνων, ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι. ἀπαντᾷ αὐτῇ ὁ χορὸς τῶν δαιμόνων τῆς ὑπερηφανείας· ψηλαφῶσιν αὐτὴν, ἐὰν ἔχῃ τὰ ἔργα αὐτῶν. ἀπαντᾷ ὁ χορὸς τῶν πνευμάτων τῆς καταλαλίας· θεωροῦσιν, ἐάν ποτε κατελάλησεν καὶ οὐ μετενόησεν. ἀπαντῶσι πάλιν παράνω οἱ δαίμονες τῆς πορνείας· ἐρευνῶσιν, ἐὰν γνωρίζωσιν ἐν αὐτῇ τὰ ἐπιτηδεύματα αὐτῶν. καὶ ὅταν ἀπὸ τῆς γῆς ἕως τοῦ οὐρανοῦ ἡ ἀθλία ψυχὴ λογοθετουμένη ἔσηται, παρὰ μίαν αὐτῆς οἱ ἅγιοι ἄγγελοι ἵστανται καὶ οὐ βοηθοῦσιν αὐτῇ, εἰ μὴ αἱ ἀρεταὶ αὐτῆς.' ταῦτα ἐννοῶν ὁ ἀοίδιμος ἔμφοβος περὶ τῆς τοιαύτης ὥρας ἐγίνετο καὶ ἐμμέριμνος, φέρων ἐπὶ μνήμης καὶ τὸ τοῦ ἁγίου Ἰλαρίωνος λόγιον, ὅτιπερ μέλλων τοῦ βίου ἐξέρχεσθαι ἐδειλίασεν καὶ ἔλεγεν τῇ ἑαυτοῦ ψυχῇ· 'Ογδοήκοντα ἔτη, ὦ ταπεινὴ ψυχὴ, ἔχεις δουλεύουσα τῷ Χριστῷ καὶ φοβῇ ἐξελθεῖν; ἔξελθε, φιλάνθρωπός ἐστιν' καὶ ἔλεγεν ἑαυτῷ ὁ πατριάρχης· 'Ἐὰν ὀγδοήκοντα ἔτη δουλεύσας τῷ Χριστῷ καὶ νεκροὺς ἐγείρας καὶ σημεῖα πεποιηκὼς τὴν πικρὰν ὥραν ἐφοβήθη ἐκείνην, τί ἔχεις σὺ, ταπεινὲ Ἰωάννη, ποιῆσαι ἢ εἰπεῖν, ὅταν ἀπαντήσωσιν εἰς πρόσωπόν σου οἱ ὠμοὶ ἐκεῖνοι καὶ ἄσπλαγχνοι τελῶναι καὶ φορολόγοι; πρὸς ποίους ἔχεις ἐξισχῦσαι ἀπολογήσασθαι πρὸς τοὺς τοῦ ψεύδους, πρὸς τοὺς τῆς καταλαλίας, πρὸς τοὺς τῆς ἀσπλαγχνίας, πρὸς τοὺς τῆς φιλαργυρίας, πρὸς τοὺς τῆς μνησικακίας, πρὸς τοὺς τοῦ μίσους, πρὸς τοὺς τῆς ἐπιορκίας;' καὶ ἐπαπορῶν ἔλεγεν· 'Ὁ θεὸς· σὺ αὐτοῖς ἐπι-

---

2. *χοροὶ χοροὶ* EC. 3. *αὐτὴν* E. 5. *αὐτὴν* nach *ἀπ.* E. fehlt in C und bei An. 7. *παράνω οἱ*] *παράνομοι* C. 8. *γνωρίσωσιν* E. 10. *ἔσητε* C. 11. *ἀρ. μόναι* E. *ταῦτα καὶ τὰ τούτοις ὅμοια* E. 12. *καθ' ἑκάστην ἔμφ. καθ' ἑκάστην* E, aber die beiden letzten Worte sind durchstrichen. 16. *χῶ*] *θῶ* E. 17. *φίλανός ἐστιν ὁ θς* E. *ἐπέλεγεν* E. 18. *ἐγείρασ ἀναστήσασ* E. 19. *ἐφοβήθην* C. *ἐφ. τὴν πικρὰν ἐκείνην ὥραν* E. 20. *ἢ εἰπεῖν* fehlt in C. *ἀπαντῶσιν* E. 22. Hinter *φορολόγοι* fügt E *πρὸ προσώπου σου* hinzu. *πόσουσ* E. *ἔχεισ ἄρα* E. 23. *τοῦ* fehlt in C. 26. *ἐπαπορῶν*] *ἐπὶ πάντων* C. dementatus An.

τίμησον, ἐπεὶ πᾶσα ἰσχὺς ἀνθρώπων ἀδυνατεῖ πρὸς αὐτούς, σὺ, κύριε, δὸς ἡμῖν ὁδηγοὺς ἁγίους ἀγγέλους τοὺς φυλάσσοντας καὶ κυβερνῶντας ἡμᾶς. πολλὴ γάρ ἐστιν ἡ καθ' ἡμῶν αὐτῶν μανία, πολὺς ὁ φόβος, πολὺς ὁ τρόμος, πολὺς ὁ κίνδυνος τοῦ πελάγους τοῦ ἀέρος τούτου· εἰ γὰρ ἀπὸ πόλεως εἰς πόλιν ἐπὶ τῆς γῆς πορευόμενοι δεόμεθα τοῦ χειραγωγοῦντος, ἵνα μὴ εἰς κρημνοὺς ἐμπέσωμεν ἢ εἰς ἀγρίων θηρίων τόπους ἢ εἰς ποταμοὺς ἀπεράντους ἢ εἰς δύσβατα καὶ ἄβατα ὄρη ἢ εἰς ληστῶν χεῖρας ἢ εἰς ἐρημίαν ἀκατάληπτον καὶ ἄνυδρον καὶ ἀπολώμεθα, πόσους ὁδηγοὺς ἰσχυροὺς καὶ θείους φύλακας δεόμεθα, ἐκπορευόμενοι τὴν μακρὰν ὁδὸν ταύτην καὶ αἰώνιον, λέγω δὴ τὴν ἐκ τοῦ σώματος ἔξοδον καὶ πρὸς τὸν οὐρανὸν ἄνοδον.' αὗται αἱ θεόσοφοι τοῦ μακαρίου πρὸς ἑαυτὸν καὶ πρὸς πάντας διδασκαλίαι, αὗται αὐτοῦ αἱ καθημεριναὶ φροντίδες καὶ μελέται.

Cap. XLII. | Πολλὴν δὲ καὶ περὶ τῆς ἁγίας συνάξεως 306v φροντίδα ἐποιεῖτο καὶ σπουδὴν ἐπεδείκνυτο. ἐν μιᾷ γὰρ τῶν ἡμερῶν βουλόμενος τοὺς πολλοὺς ἀνακόψαι τοῦ ἐξέρχεσθαι ἀπὸ τῆς ἀπολύσεως τοῦ ἁγίου εὐαγγελίου ἐκ τῆς ἐκκλησίας εἰς ἀργολογίας ἀντὶ τῆς εὐχῆς ἀπασχολεῖσθαι τί ποιεῖ; καταλείψας τε εὐθέως, ἡνίκα ἀνεγνώσθη τὸ ἅγιον εὐαγγέλιον ἐν τῇ ἐκκλησίᾳ καὶ αὐτὸς ἐξῆλθεν καὶ ἐκαθέσθη ἔξω σὺν τῷ ὄχλῳ. καὶ πάντων δὲ ἐκπληττομένων, εἶπεν πρὸς αὐτοὺς ὁ δίκαιος· 'Τέκνα, ὅπου τὰ πρόβατα, ἐκεῖ καὶ

---

2. σὺ δὲ C. φυλάσσοντας ἡμᾶς C. γάρ ἐστιν δέσποτα E. 5. πελάγους C. πελάγους τοῦ ἀέρος τούτου E. pelagi aëris huius An. 11. μακρὰν C. 13. τὸν fehlt in C. θεόσ. καὶ τίμιαι E. 15. αὗται αἱ ἑαυτοῦ καθ. C.

16. Die Capitelzahl fehlt in C, hier beginnt wieder fol. 306v cod. A. πολλὴν] πάλιν A. 17. σπεύδειν C. ἐπιδείκνυτο A. 18. τοῦ μὴ CE. 19. ἀπὸ] ἐκ C. ἁγίου fehlt in A. 20. καὶ εἰς ἀργολογίας καὶ φλυαρίας E. ἀπασχολεῖσθαι E. ἀργολογίας καὶ ματαίας τοῦ βίου συντυχίας. τί ποιεῖ; καταλείψας μετὰ τὸ ἅγιον εὐαγγέλιον καὶ αὐτὸς τὴν ἐκκλησίαν, ἐξῆλθεν κτλ. C. 21. τε fehlt in E. ἡνίκα] τὴν A. 22. ἔξω καὶ ἐκαθ. A. καὶ fehlt in E. 23. δὲ] ἐπὶ τοῦτο C. ἐκπλ. ἐπὶ τῇ ἀναχωρήσει αὐτοῦ E. 24. πρ. αὐτ. εἶπεν C. ἀδελφοὶ καὶ τέκνα E.

ὁ ποιμήν. εἰσέλθατε ἔσω καὶ εἰσέρχομαι. ἢ μείνατε ὧδε καὶ μενῶ. καὶ ἐγὼ δι' ὑμᾶς κατέρχομαι εἰς τὴν ἁγίαν ἐκκλησίαν, ἐπεὶ ἠδυνάμην ποιῆσαι αὐτῷ σύναξιν ἐν τῷ ἐπισκοπείῳ.' ἅπαξ οὖν καὶ δεύτερον ποιήσας τὸ αὐτὸ σχῆμα ὁ μακάριος ἐσωφρόνισε καὶ ἐν τούτῳ τὸν λαὸν μεγάλως καὶ διωρθώσατο. ἐφοβοῦντο γὰρ μὴ πάλιν τὸ αὐτὸ σχῆμα ποιήσῃ αὐτοὺς ὁ ἀείμνηστος.

Συντυχάνειν δέ τινα εἰς τὸ ἱερατεῖον οὐδ' ὅλως κατεδέχετο, ἀλλ' ἐπὶ πάντων ἐξέβαλεν αὐτὸν ἔξω, λέγων· Εἰ μὲν διὰ τὸ εὔξασθαι παρεγένου ἐνταῦθα, εἰς τοῦτο τὸν νοῦν σου καὶ τὸ στόμα σου ἀπασχόλησον· εἰ δὲ συντυχίας ἕνεκεν, γέγραπται· Ὁ οἶκος τοῦ θεοῦ οἶκος προσευχῆς κληθήσεταί. μὴ οὖν ποιήσῃς αὐτὸν σπήλαιον ληστῶν.'

Τοῦτο δὲ ἦν τὸ θαυμασιώτερον τοῦ ἐν ἁγίοις τούτου πάπα, ὅτι μήτε τὸν μονήρη βίον ἀσκήσας, μήτε ἐν κλήρῳ διατρίψας ἐν ἐκκλησίᾳ, ἀλλὰ καὶ γυναικὶ νομίμως προσομιλήσας, οὕτως ἐκράτησεν τῆς καταστάσεως τῆς ἐκκλησίας, ἀπὸ καλίγων πατριάρχης χειροτονηθείς, καὶ εἰς τοιοῦτον ὕψος ἀρετῆς ὑψώθη, ὥστε πολλοὺς τῶν ἐν ἐρήμῳ ἀσκήσει διαπρεψάντων ὑπερνικῆσαι.

---

1. ἢ εἰσέλθετε E. 2. καὶ ἐγὼ] ἐγὼ E. ἡμᾶς A 3. ἑαυτῶ π. C. ποιῆσ. ἑαυτῶ E. 4. δεύτερον τοῦτο C. δεύτερον καὶ τρίτον E. τὸ — σχῆμα fehlt in C. ὁμ. ἐσωφρόνησε καὶ ἐν τούτω τὸν λαὸν μεγάλως καὶ διωρθώσατο E. Beatus erudivit et in hoc plebem magnifice et emendavit An. ὁ μακάριος τὸν λαὸν μεγάλως διωρθώσατο A. ὁ μακ. ἐσωφρόνησε καὶ ἐν τούτω τὸν λαὸν καὶ διορθώσατο· ἔκτοτε ἐφοβοῦντο μὴ κτλ. C. 7. ποιήσας ποιήσει αὐτοῖς ὁ E. ὁ ἀείμ.] ὁ ἅγιος C. 8. συντυχάνειν — 13. ληστῶν ist in C durchstrichen. συντυχάνην ἴδεν A. συντυγχάνειν E. ἐκατεδέχετο A. 9. ἐξέβαλεν E. 11. τὸ στόμα σου καὶ τὸν νοῦν σου ἀπασχόλησον A. ἕνεκε A. ἕνεκα E. 12. Matth. XXI 13. 13. ἑαυτὸν A. σπήλαιον] οἶκον A. 14. Codex C knüpft an ποιήσῃ αὐτοὺς ὁ ἅγιος gleich die Geschichte von der Porphyria (XLIII) und von den beiden Geistlichen, die zugleich Schuster sind, an (XLIV). Der Anordnung der Hdschr. A und E folgt auch Anastasius. Vor τοῦτο hat C *M S*. 15. τῶ — βίω A. μηδὲ A. 16. νομίμως A. legitime An. νομίμω CE. 17. τὴν κατάστασιν C. 18. καλλίγων E. ἀνυψώθη E. 19. ὥστε] ὡς E. τῶν ἐν ἐρήμω ἀσκήσει A. καὶ ἐν ἐρήμω ἐν ἀσκήσει C. τὸν ἐν ἐρήμω καὶ ἀσκήσει E. eremitarum et in arcta via An. διαπρέψαντας ὑπερακοντίσαι C.

Βουλόμενος δὲ μηδὲ τούτου τοῦ καλοῦ τυγχάνειν ἄμοιρος, λέγω δὴ τῆς τοῦ μοναδικοῦ βίου καταριθμήσεως, ἐπιτηδεύει πρᾶγμα τοιοῦτον. συναγαγὼν δύο τάγματα ὁσίων 307r
μοναχῶν, τάσσει τούτοις πᾶσαν χρείαν χορηγεῖσθαι ἐκ τῶν προσόντων αὐτῷ χωρίων ἐν τῇ ἑαυτοῦ πόλει, καὶ ποιήσας 5
αὐτοῖς κέλλια, ἔταξεν ἐν τοῖς δυσὶν εὐκτηρίοις τῆς δεσποίνης ἡμῶν, τῆς ἁγίας Θεοτόκου καὶ τοῦ ἁγίου Ἰωάννου, ἅπερ ἦν αὐτὸς ἐκ θεμελίων οἰκοδομήσας, εἰπὼν τοῖς θεοφιλεστάτοις μοναχοῖς οὕτως· Ἐγὼ μετὰ θεὸν τὴν χρείαν τὴν σωματικὴν φροντίζω ὑμῖν, ὑμεῖς δὲ τῆς ψυχικῆς μου φροντίσατε σωτη- 10
ρίας, ἵνα ἡ λυχνικὴ καὶ ἡ νυκτερίνη ἀγρυπνία ἐμοὶ παρὰ θεῷ λογίζηται. εἴ τινα δὲ ἐν τοῖς ἡμετέροις κελλίοις λειτουργίαν ποιήσητε, ὑπὲρ τῶν ὑμετέρων ἔσται ψυχῶν.' τοῦτο δὲ ἐποίησεν βουλόμενος σπουδαιοτέρους τοὺς θεοφιλεῖς μοναχοὺς ἀπεργάσασθαι. ὅθεν καὶ διεκράτησεν ἡ τοιαύτη αὐτοῦ 15
θεάρεστος σύστασις τῶν ταγμάτων καὶ καθ' ὁμοίωσιν μοναστηρίου ἐκ τούτων ἡ κατ' αὐτὸν πόλις σχεδὸν πολιτεύεται, ἐν διαφόροις τόποις τὰς παννυχίους ὑμνῳδίας τῷ θεῷ προσφερουσα.

Καὶ τοῦτο δὲ ὁ μακάριος οὗτος πάντας ἐδίδασκεν καὶ 20
διεμαρτύρετο, τὸ μηδαμῶς μηδ' ὅλως ποτὲ τῆς τῶν αἱρετικῶν κοινωνίας, μᾶλλον δὲ κοινώσεως μετασχεῖν, 'εἰ καὶ πᾶσαν τὴν ὑμετέραν ζωήν,' φησιν ὁ μακάριος, 'ἔκ τινος ἀνάγκης ἢ

---

1. *ΜΔ* C. *βουλόμενος δὲ τούτου τοῦ καλοῦ ἄμοιρος μὴ τυγχ.* E. 4. *ἀνδρῶν μοναχῶν* E. *τὰς ἢ* A. *τούτους* AC. 5. *χωρίον* E. 6. *αὐτοῦ* A. *αὐτοὺς* A. 7. *τῆς ἁγίας* fehlt in E. 8. *ἐκ θεμελίων* fehlt in A. 9. *οὕτως* fehlt in C. *οὕτως· πρεσ τίμιοι καὶ πνικοὶ* E. 10. *μου* fehlt in A. *σρῖας φροντίσατε* C. 11. *τὸ λυχνικὸν* E. Das zweite *ἡ* fehlt in C. *ἐμὴ* C. *παρὰ θῶ* fehlt in C. 12. *λογίζεται* AC. *λογίζητε* E. *τινα*] *τι* C. *λειτουργίασ* CE. 13. *ἡμετέρων* A. 16. *θεώρεστοσ* C. *καὶ δίκην μοναστηρίου ἡ κατ' αὐτὸν πόλισ ἐκ τούτου πολιτεύεται ἐν διαφ. κτλ.* E. 17. *τούτων ὥστε καὶ αὐτὴν ἅπασαν σχεδὸν τὴν πόλιν τοῦ δικαίου τούτου μιμησαμένη τὸν τρόπον πανννυχίοισ ὑμνωδίασ τῶ θῶ προσφέρειν* C.
20. *οὗτοσ* fehlt in C. *οὕτω* E. *πᾶν* A. *ἐδίδασκεν καὶ* fehlt in C. 21. *διεμαρτύρατο* CE. *τὸ* fehlt in A. *μηδὲ* CE. *ποτὲ* fehlt in C. *αἱρετ. πλησιάζειν* C. 23. *τῆσ αὐτῶν κοιν.* C. *ἡμετέραν* A. *φησὶν ζωὴν* A. *ἐκτενῶσ* A.

περιστάσεως ἀκοινώνητοι ἐν τῷ μὴ εὑρίσκειν τῆς καθολικῆς ἐκκλησίας κοινωνίαν διαμένητε. εἰ γάρ,' φησι, 'γυναῖκα σωματικὴν νομίμως κτησάμενοι, ἐὰν εἰς χώραν μακρὰν ἐκτὸς ταύτης χρονοτριβήσαντες, καταλιπεῖν ταύτην καὶ ἄλλῃ ξευχθῆναι ὑπὸ τοῦ θεοῦ καὶ τῶν νόμων κωλυόμεθα, ἐὰν δὲ τοῦτο πράξωμεν, τιμωρούμεθα, πῶς ἄρα τῷ θεῷ διὰ τῆς ὀρθῆς πίστεως καὶ καθολικῆς ἐκκλησίας συζευχθέντες (ὡς φησιν ὁ ἀπόστολος· Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ'), ἐὰν τὴν ὀρθόδοξον καὶ ἁγίαν πίστιν μοιχεύσωμεν διὰ τῆς κοινωνίας τῶν αἱρετικῶν, οὐχὶ τῆς κολάσεως ἐν τῷ μέλλοντι αἰῶνι τῆς ἐκδεχομένης τοὺς αἱρετικοὺς γενώμεθα συμμέτοχοι; κοινωνία γάρ,' φησι, 'διὰ τοῦτο
307v εἴρηται διὰ τὸ συγκοινωνεῖν καὶ στοιχεῖν τὸν | κοινωνοῦντα οἷς κοινωνεῖ. μὴ τοίνυν, δυσωπῶ,' φησιν, 'ὦ τέκνα, τοῖς τοιούτοις εὐκτηρίοις προσψαύσητε κοινωνίας ἕνεκεν.'

Cap. XLIII. Μετὰ πάντων αὐτοῦ τῶν κατορθωμάτων καὶ τοῦτο ὁ μακάριος ἐκέκτητο, λέγω δὴ τὸ μὴ ὡς ἔτυχεν κατακρίνειν τὸν πλήσιον ἢ τοὺς κατακρίνοντας ἀποδέχεσθαι, εἶπω δὲ αὐτοῦ καὶ διδασκαλίαν περὶ τούτου τοῖς πᾶσιν ὠφέλιμον.

Νεώτερός τις ἁρπάσας μονάστριαν ἔφυγεν ἐν Κωνσταντινουπόλει. τοῦτο μαθὼν ὁ δίκαιος περίλυπος ἐγένετο ἕως θανάτου· χρόνου δὲ ὀλίγου διελθόντος συγκαθημένου αὐτοῦ

---

1. ἀκοινώνητον μένειν, ἕως οὗ τῆσ ὀρθοδόξου καὶ καθολικῆσ ἐκκλησίασ τύχοι τὴν κοινωνίαν εἰ γὰρ C. 2. διαμένηται A. διαμένετε E. ἡ γὰρ A. σωμ. νομ. fehlt in A. 3. χώραν τινα E. ἐκ statt ἐκτὸσ A. 4. καταλειπεῖν CE. καὶ καταλειπὴν A. ταύτη E. ἄλλην C; es fehlt in A. ἀναξευχθῆναι A. συζευχθῆναι E. 5. τοῦ νόμου A. καὶ τοῦτο E. καὶ εἰ — πράξομεν C. κωλυόμεθα μᾶλλον δὲ τιμωρ. E. καὶ τιμ. C. 7. συνζευ. A. 8. II. Kor. XI 2. γὰρ ὑμᾶσ C. ἡμᾶσ A. παρθένω A. 9. πίστιν τοῦ χῦ C. 10. μοιχεύσωμεν CE. μοιχεύωμεν A. 11. τοῖσ ἐκδεχομένοισ A. τοῖσ αἱρετικοῖσ AE. 14. δυσωπῶ ὑμᾶσ E. 15. εὐκτηρίοσ (sic) E. ἕνεκα E.

16. Die Capitelzahl fehlt in C. 17. τὸ] τοῦ A. 18. κατακρίνειν — ἢ fehlt in A. 18. εἶπον δὲ αὐτοῖσ A. 19. τοῖσ πᾶσιν] τούτοισ A. 21. ἁρπάξασ C. ἐν] ἐπὶ E. 23. τινὸσ ὀλίγου CE. διελθ.] παρελθόντοσ E. καθημένου C.

ἐν μιᾷ ἐν τῷ τιμίῳ αὐτοῦ κειμηλιαρχείῳ μετά τινων τῶν τοῦ κλήρου καὶ συντυχίαν ψυχωφελῆ κινοῦντος, ἦλθεν εἰς μέσον ἡ μνήμη τοῦ νεωτέρου τοῦ τὴν μονάστριαν ἁρπάσαντος, καὶ ἤρξαντο οἱ συγκαθήμενοι τῷ ὁσίῳ ἀναθεματίζειν τὸν τοιοῦτον νεώτερον ὡς δύο ψυχὰς ἀπολέσαντα, μίαν μὲν τὴν αὐτοῦ, ἑτέραν δὲ τῆς μοναστρίας. ἐπεστόμισεν οὖν καὶ ἐνέκοψεν αὐτοὺς ὁ μακάριος λέγων· Μὴ, τέκνα, μὴ οὕτως· ἐπεὶ παριστῶ ὑμῖν ὅτι καὶ ὑμεῖς δύο ἁμαρτίας ποιεῖτε, μίαν μὲν, ὅτι παραβαίνετε τὴν ἐντολὴν τοῦ εἰπόντος· Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· ἔπειτα οὐδὲ οἴδατε ἀκριβῶς, ἐὰν ἕως σήμερον ἁμαρτάνουσιν καὶ οὐ μετενόησαν.'

Ἀνέγνων γὰρ βίον πατρός τι τοιοῦτον περιέχοντα, ὅτι Ἐν πόλει τινὶ δύο μοναχοὶ ἀπῆλθον εἰς διακονίαν, καὶ ὡς παρήρχετο ὁ εἷς διά του τόπου, κράζει αὐτῷ μία πόρνη καὶ λέγει· Σῶσόν με, πάτερ, ὥσπερ ὁ Χριστὸς τὴν πόρνην.' ὁ δὲ τῆς τῶν ἀνθρώπων αἰσχύνης μηδὲ ὅλως φροντίσας, λέγει αὐτῇ· Ἀκολούθει μοι.' καὶ κρατήσας αὐτὴν τῆς χειρὸς αὐτῆς, ἐξῆλθεν ἐκ τῆς πόλεως δημοσίως, πάντων θεωρούντων. ἐγένετο οὖν φήμη, ὅτι ὁ ἀββᾶς ἔλαβεν γυναῖκα τὴν κυρὰν Πορφυρίαν· οὕτως γὰρ ἐκαλεῖτο. ἀπερχομένων οὖν αὐτῶν ἵνα βάλῃ αὐτὴν εἰς μοναστήριον, εὗρεν ἡ γυνὴ εἰς μίαν ἐκκλησίαν παιδίον χαμαιριφῆ καὶ ἐπῆρεν αὐτὸ, ἵνα ἀναθρέψῃ αὐτό. τινὲς οὖν μετὰ ἑνιαυτὸν ἦλθον εἰς τὴν χώραν, ὅπου ἦν ὁ ἀββᾶς καὶ ἡ Πορφυρία ἡ ἀπὸ πορνῶν. καὶ ἰδόντες

---

1. ἐν μιᾷ fehlt in C. 2. ἦ. εἰσ μνήμην εὐθέωσ εἰσ μέσ. A. 3. τοῦ προρηθέντοσ νεωτ. ἐκείνου C. λέγω δὴ ἁρπ. C. 5. μὲν]. δὴ C. 6. ἑαυτοῦ AE. ἐπετίμησεν A. οὖν] δὲ E. ἐνέκοψεν AE. ἀνέκ. C. 7. ὁ μακάρ. αὐτ. C. ἀδελφοὶ καὶ τέκνα E. τεκνία A. μὴ λέγετε οὕτ. E. 8. παρίστω die Hdschr. παρίστω ὑμῖν ὅτι fehlt in C. 9. ὑμεῖσ νῦν E. Matth. VII 1. 10. ἔπειτα οὐδὲ] οὐδὲ πάλιν C. 11. καὶ — μετενόησαν fehlt in C. 12. ἀνεγὰρ A. ἀν. γὰρ ἐγὼ E. τι fehlt in C. 14. ὁ εἷσ fehlt in C. τινοσ τόπου CE. αὐτὸν CE. καὶ λέγει fehlt in AE. dicens An. 15. ὁ δὲ μοναχὸσ E. 16. μηδ' ὅλωσ CE. 17. ἐκ τῆσ χ. C. αὐτῆσ fehlt in C. 18. δημοσ. ἐκ τ. π. CE. 19. ἄββασ AE An. σάκασ C. κιρὰν A. 21. βάλλη A. εἰσ μίαν γωνίαν τῆσ ἐκκλησίασ E. 22. χαμαὶ ῥιφέντα C fehlt in E. 24. ἡ ἀπὸ πορ. Hier bricht die Erzählung der Hdschr. A ab, denn

αὐτὴν ἔχουσαν τὸ παιδίον, λέγουσιν αὐτῇ· Ἀληθῶς καλὸν ἀββαδόπουλον ἐγέννησας'. οὔπω γὰρ ἦν λαβοῦσα τὸ ἅγιον σχῆμα. ἀπελθόντες οὖν εἰς Τύρον οἱ ἰδόντες αὐτὴν — ἐκεῖθεν γὰρ ἦν ἐπάρας αὐτὴν ὁ ἀββᾶς —, ἐφήμισαν ὅτι 'ἐγέννησεν ἐκ τοῦ ἀββᾶ ἡ Πορφυρία καὶ ἡμεῖς εἴδομεν τὸ παιδίον τοῖς ὀφθαλμοῖς ἡμῶν, ὁμοιάζον αὐτῷ.' ὅτε οὖν προέγνω ἐκ τοῦ θεοῦ ὁ ἀββᾶς τὴν τελευτὴν αὐτοῦ, λέγει τῇ ἀμμᾷ Πελαγίᾳ — οὕτως γὰρ μετωνόμασεν αὐτὴν, ὅτε ἔδωκεν αὐτῇ τὸ ἅγιον σχῆμα —· Ἄγωμεν εἰς Τύρον, ὅτι ἔχω ἐκεῖ ἀπόκρισιν, καὶ θέλω, ἵνα ἔλθῃς μετ' ἐμοῦ'. ἡ δὲ μὴ δυνηθεῖσα ἀντειπεῖν αὐτῷ, ἠκολούθησεν αὐτῷ, καὶ ἦλθον ἀμφότεροι, ἔχοντες καὶ τὸ παιδίον ἐτῶν ὑπάρχοντα ἑπτά. ὡς οὖν ἠσθένησεν ὁ ἀββᾶς τὴν ἐπὶ θάνατον ἀσθένειαν, ἀνῆλθον εἰς ἐπίσκεψιν αὐτοῦ ἐκ τῆς πόλεως ἕως ἑκατὸν ψυχῶν, καὶ λέγει· Φέρετε λαμπράν'. ὡς οὖν ἦλθεν τὸ θυμιατήριον γέμον τῶν λαμπρῶν, ἔλαβεν καὶ ἐκένωσεν αὐτὰ εἰς τὸ στιχάριον αὐτοῦ καὶ εἶπεν· Πληροφορήθητε, ἀδελφοὶ, ὅτι, ὥσπερ ἐφύλαξεν ὁ θεὸς τὴν βάτον ἄφλεκτον ἐκ τοῦ πυρὸς, καὶ ὡς οὐδὲ τὸ στιχάριόν μου τοῦτο ἥψαντο τὰ λαμπρὰ ταῦτα, οὕτως οὐδὲ ἐγὼ ἔγνων ἁμαρτίαν γυναικὸς, ἀφ' ἧς ἐγεννήθην'. καὶ πάντες κατεπλάγησαν, πῶς οὐ κατεφλέχθη τὸ στιχάριον αὐτοῦ ἐκ τοῦ πυρός. καὶ ἐδόξασαν τὸν θεὸν, τὸν ἔχοντα τοιούτους κρυπτοὺς δούλους. ἐκ δὲ τῆς προφάσεως τῆς ἀμμᾶς Πελαγίας τῆς ποτε πόρνης καὶ ἄλλαι πόρναι ἠκολούθησαν αὐτῇ καὶ ἀπετάξαντο, μετ'

---

die beiden folgenden Blätter enthalten ein Stück von der Legende des hlg. Mamas; das Ende der Legende von der hlg. Porphyria geben wir also bloss nach C und E.

3. οὖν] δὲ E. αὐτὴν ἦν ἐπάρασ E. 4. ἐφήμησαν C. ἔφησαν E. 5. ἴδωμεν C. ἴδομεν E. 6. ὁμοιάζων C. ἐκ τοῦ θεοῦ fehlt in C. 7. ἀμμᾶ] μοναχῇ E. Nonnae Pelagiae An. 8. οὕτωσ γὰρ ἦν μετονομασθεῖσα εἰσ τὸ ἅγιον σχῆμα E. 9. ἄγωμεν, κυρία μου E. 11. ἦλθον] ἐλθόντεσ C. venerunt An. ἔχοντεσ μεθ' ἑαυτῶν E. 12. λοιπὸν ἑπτὰ ἐτῶν ὑπάρχοντα E. ὑπάρχων C. 15. γέμον γεμῶν C. τῶν fehlt in C. 16. αὐτό E. 17. ὁ θεὸσ lässt C weg. 19. ἐγὼ fehlt in E. 20. ἐξ ἧσ ἐγεννήθη E. καὶ] τότε E. 21. κατεφλέχθη] ἐκάη E. 22. ἐδόξαζον C. τοιούτουσ lässt E weg. 23. ἐκ τ. πρ. οὖν E.

αὐτῆς ἀναχωρήσασαι εἰς τὸ μοναστήριον αὐτῆς· ὁ γὰρ δοῦλος τοῦ θεοῦ ὁ μοναχὸς ὁ κουρεύσας αὐτὴν, ἡνίκα ἐπληροφόρησεν πάντας, παρέδωκεν τῷ κυρίῳ τὸ πνεῦμα ἐν εἰρήνῃ.' 'διὰ τοῦτό,' φησι, 'λέγω ὑμῖν, ὦ τέκνα, μὴ προχείρους εἶναι εἰς τὸ σκώπτειν καὶ κρίνειν τὰ ἀλλότρια. πολλάκις γὰρ τὴν μὲν ἁμαρτίαν τοῦ πόρνου εἴδομεν, τὴν δὲ μετάνοιαν αὐτοῦ, ἣν ἐποίησεν κρυπτῶς, οὐκ ἐθεασάμεθα, καὶ ἔστιν ὅτε κλέψαντά τινα ἐθεωρήσαμεν, τοὺς δὲ στεναγμοὺς καὶ τὰ δάκρυα, ἃ προσήγαγε τῷ θεῷ, οὐκ ἐπιστάμεθα. καὶ ἡμεῖς μὲν ἔχομεν αὐτὸν οἷον εἴδομεν αὐτὸν κλέπτην ἢ πόρνον ἢ ἐπίορκον, παρὰ δὲ θεῷ ἐδέχθη ἡ κρυπτὴ αὐτοῦ μετάνοια καὶ ἐξομολόγησις, καί ἐστιν παρ' αὐτῷ τίμιος.' πάντες οὖν ἐξεπλήττοντο ἐπὶ τῇ διδαχῇ τοῦ ἐναρέτου ποιμένος τούτου καὶ διδασκάλου.

Cap. XLIV a. Δύο κληρικῶν ὄντων τζαγγαρίων καὶ ἐγγὺς ἀλλήλων καμνόντων, ὁ μὲν εἷς εἶχεν τέκνα πολλὰ καὶ γυναῖκα καὶ πατέρα καὶ μητέρα, ἐσχόλαζεν δὲ καὶ τῇ ἐκκλησίᾳ ἀδιαλείπτως, καὶ ὅλους μετὰ θεὸν ἔτρεφεν ἐκ τῆς τέχνης αὐτοῦ, ὁ δὲ ἄλλος, καίπερ τεχνικώτερος ὤν, διὰ τὸ μὴ σχολάζειν αὐτὸν τῇ ἐκκλησίᾳ, ἀλλὰ σχεδὸν καὶ τὰς κυριακὰς κάμνειν, οὐδὲ ἑαυτὸν μόνον τρέφειν ἴσχυσεν. ἐζήλευεν οὖν οὗτος τῷ γείτονι αὐτοῦ, καὶ ἐν μιᾷ μὴ φέρων τὸν φθόνον λέγει αὐτῷ μετ' ὀργῆς· 'Πόθεν σὺ οὕτως ἐπλούτησας; ἐγὼ δὲ σχολάζων πλεῖόν σου τῇ τέχνῃ μου ἐφύρασα.' ὁ δὲ λέγει αὐτῷ, θέλων ποιῆσαι αὐτὸν σχολάζειν τῇ ἐκκλησίᾳ· 'Ὡς ἀπέρχομαι ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, εὑρίσκω λογάριν ἐρριμ-

---

2. κυριεύσασ E. 4. φησι fehlt in C. 6. μὲν fehlt in C. τὴν μὲν E. εἴδομεν] ἴδομεν E. vidimus An. οἴδαμεν C. τὴν δὲ μετάνοιαν αὐτοῦ οὐ γινώσκομεν C. 9. ἡμεῖσ μὲν τυχὸν αὐτὸν ἔχομεν κλέπτην ἢ ἐπίορκον ἢ πόρνον E. 11. ἐδέχθη αὐτοῦ CE. 12. οὖν οἱ ἀκούοντεσ E. 13. διδασκάλου καὶ ἐδόξαζον τὸν θν E.

14. XLIV. *MB* C. Mit diesem Kapitel setzt Codex D fol. 95ᵛ wieder ein 18. ἕτεροσ E. καίτοι E. 20. τρέφειν μόνον D. ἴσχυεν E. 21. τὸν γείτονα E. ἐν μιᾶ τῶν ἡμερῶν E. 22. σοὶ C. ἐπλούτισασ CD. 24. αὐτὸν fehlt in E. ἐκκλησία λέγει αὐτῷ· ὄντωσ οὕτωσ ἤμην καγὸ πρῶτον· ἀλλ' ἀφ' οὗ ἠρξάμην συχνάζειν τῇ ἐκκλησία D. 25. ὡσ ἐν τῇ ἐκκλησία ἀπέρχεσθαι οἶδα, κατὰ τὴν ὁδὸν

μένον χαμαὶ, καὶ ἐκεῖθεν ἐκ τοῦ κατὰ μέρους ἐπλούτησα. ἀλλ' ἐὰν θέλῃς, ἀεὶ κράζω σε καὶ ἔρχῃ μετ' ἐμοῦ καὶ εἴ τι εὕρομεν, λαμβάνεις τὸ ἥμισυ.' ὡς οὖν ἐκεῖνος πεισθεὶς ἠκολούθει αὐτῷ, ἀπερχομένῳ εἰς τὴν ἐκκλησίαν, ἀδιαλείπτως εὐλόγησεν αὐτὸν ὁ Θεὸς καὶ ἐπλούτισεν. τότε λέγει αὐτῷ ὁ καλὸς σύμβουλος· Εἶδες, ἄδελφε, ἓν ψεῦμα διὰ τὸν θεὸν, πόσον ὠφέλησεν τὴν ψυχήν σου καὶ τὴν ὑπόστασίν σου. πίστευσον, οὐδὲν εὗρόν ποτε χαμαὶ ὡς ἐνόμισας χάριν λογαρίου, ἀλλ' ἐπειδὴ ὁ κύριος εἶπεν· Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν', διὰ τοῦτο προεφασισάμην, ἵνα μόνον λιμνισθῇς, καὶ ἰδοὺ οὐκ ἀπέτυχα, ἀλλ' εὗρες καὶ ὑπερεῦρες.' τοῦτο οὖν μαθὼν ὁ ὅσιος πάπας ἐποίησεν τὸν καλὸν σύμβουλον πρεσβύτερον, ὡς ἄξιον· ἦν γὰρ ἀναγνώστης.

Cap. XLIVb. Καὶ μέχρι μὲν τῶν ἐνταῦθα ὁ προμνη-
310r μονευθεὶς | θεοσεβέστατος Μηνᾶς ὁ ἀπὸ οἰκονόμων τῆς ἁγιωτάτης ἐκκλησίας τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἡμῖν διηγήσατο, τὰ δὲ ἀκόλουθα καὶ ἡ ἐμὴ εὐτέλεια ἱστόρησεν, τινὰ δὲ καὶ ἀπό τινων ἀξιοπίστων ἀκήκοα· εἰρηκότων οὖν ἡμῶν ἐν τοῖς προειρημένοις ἕν τινι κεφαλαίῳ, πολλὴν συνδεθῆναι πνευματικὴν ἀγάπην πρὸς τὸν μακάριον τοῦτον πάπαν καὶ πρὸς τὸν πατρίκιον Νικήταν, ἱκανὸν σύμβολον τῆς τοιαύτης πρὸς ἀλλήλους σχέσεως καὶ τὸ παρὸν ὑπάρχει κεφάλαιον.

Ὅτε κατὰ συγχώρησιν θεοῦ, μᾶλλον δὲ διὰ τὰς ἁμαρτίας

εὑρίσκω λογάριν καὶ ἐξεκεῖθεν πλουτῶ. καὶ εἰ θέλεισ, ἔρχου καὶ σὺ μετ' ἐμοῦ κτλ C.

3. εὑρίσκωμεν D. 4. ἀπερχόμενοσ C. 6. σύμβ. ἐκεῖνοσ D. ἓν fehlt in C. 7. τὴν ὑπόστ.] τὸν βίον. 9. Matth. VI 33. 10. καὶ τὴν δ. αὐτοῦ fehlt in E.

11. Mit den Worten τοῦτο προεφασισάμην beginnt Cod. B fol. 443 wieder. 12. λιμνισθῆσ BE. λιμνισθεὶσ D. λιμνησθήσ C. ἀπέτυχα CE. ἀπέτυχον BD. 13. τοῦτο] τότε D. 14. καλοσύμβουλον D. 15. Das folgende Stück bieten die Codd. B, E, C, ebenso A fol. 310 von dem Worte θεοσεβέστατοσ an; in D fehlt es. 18. ἡ fehlt in A. 19. ἀξιοπ. ἀνδρῶν BE. ΝΑ B. 20. συνθῆναι AE. 21. τοῦτον πάπαν B. 22. σύμβ. καὶ B.

ἡμῶν ἔμελλεν Ἀλεξάνδρεια τοῖς ἀθέοις Πέρσαις παραδίδοσθαι, μνημονεύσας ὁ ποιμὴν τοῦ εἰπόντος· Ὅταν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἄλλην', ἔφυγεν εἰς τὴν ἰδίαν πατρίδα, λέγω δὴ ἐν Κύπρῳ, ἐν τῇ οἰκείᾳ πόλει. ὅθεν εὐλόγου προφάσεως δραξάμενος ὁ προειρημένος πατρίκιος Νικήτας φησὶν πρὸς τὸν ὅσιον· Δέομαι, εἰ εὗρον χάριν ἐνώπιόν σου, μὴ ἀπαξιώσῃς σκυλῆναι ἕως τῆς βασιλίδος τῶν πόλεων καὶ τὰς εὐπροσδέκτους σου εὐχὰς χαρίσασθαι τοῖς εὐσεβεστάτοις βασιλεῦσιν.' ὁ δὲ τῇ πολλῇ πίστει τοῦ ἀνδρὸς εἴξας, ὑπήκοος πρὸς τοῦτο ἐγένετο, τοῦ θεοῦ καὶ τὴν πρόθεσιν αὐτοῦ δεῖξαι θελήσαντος καὶ τὴν παρ' αὐτοῦ τιμὴν, ὅση ἦν πρὸς τὸν μακάριον. χειμαζομένου οὖν τοῦ πλοίου πολλάκις ὑπὸ βίας τῶν ἀνέμων, ἔνθα ἦν ὁ ὅσιος σὺν τῷ πατρικίῳ, καὶ τῷ βυθῷ παραπέμπεσθαι μέλλοντος, θεωρεῖ ὁ πολλάκις μνημονευθεὶς πατρίκιος καὶ οἱ σὺν αὐτῷ ἀξιωματικοὶ τῇ νυκτὶ, ἐν ᾗ ἡ ζάλη ἐγίνετο, τὸν πατριάρχην ποτὲ μὲν μετὰ πτωχῶν πανταχοῦ τοῦ πλοίου περιτρέχοντα, ποτὲ δὲ πάλιν σὺν αὐτοῖς τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐκτείνοντα καὶ τὴν ἐξ ὕψους βοήθειαν ἐφελκόμενον· ὅτε δὲ τὴν καλουμένην Ῥόδον ἔφθασαν ἀναβάλλοντες, θεωρεῖ ἔξυπνος ὢν ὁ Θεόκλητος οὗτός τινα εὐνοῦχον ἐξαστράπτοντα τῇ μορφῇ καὶ χρυσοῦν σκῆπτρον ἐν τῇ δεξιᾷ χειρὶ κατέχοντα παραστάντα αὐτῷ καὶ λέγοντα· Λεῦρο κέλευσον· ὁ βασιλεὺς τῶν βασι-

1. ἡ Ἀλεξ. E. 2. Matth. X 23. διώκουσιν AC. ἡμᾶσ C. 3. ἔφυγεν καὶ οὗτοσ BE. ἠθέλησεν πορευθῆναι A. 4. τῇ ἰδία πόλει BE. οἰκιάλῃ A. 5. ἐκ λόγου A. ἀρξάμενοσ C. εἰρημένοσ B. 6. δέον με A. δέομαι τῆσ σῆς τιμιότητοσ καὶ καθαρᾶσ συνειδήσεωσ, δέσποτα BE. ἡ εὗρον A. χάριν ὑποσσοῦ A. 7. σκυλῆναι BE. σκυλθῆναι A. συνανελθῆναι μοι C. τῆσ πόλεωσ A. 8. τιμίασ καὶ εὐπροσδ. BE. σου θῶ BE. τοῖσ εὐσ. χαρ. C. 9. πίστει καὶ παρακλήσει BE. 10. πρὸσ τοῦτο ὑπήκ. A. τὸν θῦ C. 11. καὶ τὴν fehlt in C. τιμὴ C. 12. ὃ ἦν A. χειμαζομένων A. ὑπὸ βιαίων ἀνέμων BE. οὖν] γὰρ CE. 13. τῶν πλοίων A. ὑπὸ — πρικίῳ fehlt in C. 15. πολλάκισ] πάλαι A. 16. νυκτὶ ἐκείνῃ ὅτε A. 17. μὲν fehlt in A. μετὰ τῶν πτ. AE. 18. τοῖσ αὐτ. A. ἐκτείνων εἰσ τὸν οὐνον C. 10. ἐξαιτούμενον A. N̄B B. ἔξ. ὢν] κατ' ὄναρ C. 21. οὗτοσ πατριάρχησ BE. 22. χρυσὸν C. χειρὶ αὐτοῦ C. 23. καλεῖ σε ὁ β. C. τῶν βασιλ. fehlt in A.

310v λευόντων ζητεῖ σε.' μηδὲν οὖν μελλήσας, | εὐθέως μεταστέλλεται τὸν πατρίκιον Νικήταν καὶ λέγει αὐτῷ μετὰ πολλῶν δακρύων· 'Σὺ μέν, ὦ δέσποτα, πρὸς τὸν ἐπίγειον βασιλέα με ἐκάλεσας. ἀλλὰ προλαβὼν ὁ ἐπουράνιος προσεκάλεσεν τὴν ἐμὴν εὐτέλειαν.' καὶ διηγήσατο αὐτῷ τὴν ὀπτασίαν τὴν αὐτῇ τῇ ὥρᾳ φανεῖσαν αὐτῷ τοῦ εὐνούχου, μᾶλλον δὲ τοῦ ἀγγέλου. περιχαρὴς οὖν καὶ περίλυπος γενόμενος ὁ αὐτὸς ἐνδοξότατος ἀνὴρ, ἐμποδίσαι τὸν ὅσιον οὐκ ἠδυνήθη· πλουσίως οὖν τῶν ὁσίων αὐτοῦ ἐμπλησθεὶς εὐχῶν καὶ τοῖς βασιλεῦσιν ταύτας κομισάμενος, μετὰ πολλῆς τιμῆς ἐπαναλῦσαι αὐτὸν ἐν Κύπρῳ παρεκελεύσατο.

Cap. XLV. Καταλαβόντος οὖν αὐτοῦ τὴν ἰδίαν πόλιν Ἀμαθοῦντα καλουμένην, διαθήκην οἰκείαν γράψαι τάχιστα τοῖς αὐτῷ ὑπουργοῦσι προσέταττεν. τῶν δὲ ὀξέως καὶ ὑπερθέτως χάρτην καὶ κάλαμον παραστησάντων, ἐπέτρεψε τὸ ἱερὸν ἐκεῖνο στόμα γράψαι οὕτως· 'Ἰωάννης δοῦλος, διὰ δὲ τὴν ἐπιτεθεῖσάν μοι τῆς ἱερωσύνης ἀξίαν χάριτι θεοῦ ἐλεύθερος, εὐχαριστῶ σοι ὁ θεὸς, ὅτι ἐπήκουσας τῆς ἐμῆς ἀθλιότητος, παρακαλούσης τὴν σὴν ἀγαθότητα, μὴ εὑρεθῆναί μοι τελευτῶντι, εἰ μὴ ἓν τριμίσιον. ὅθεν πληροφορῶ πάντας, ὅτι οὐ κέκτηταί ὁ βίος τοῦ ταπεινοῦ Ἰωάννου ἄλλο τί ποτε, εἰ μὴ ἓν τριμίσιον. εὑρόντος γάρ μου ἐν τῷ τιμίῳ ἐπισκοπείῳ τῆς κατὰ συγχώρησιν θεοῦ κατ' ἐμὲ ἁγιωτάτης ἐκκλησίας τῆς Ἀλεξανδρέων μεγαλοπόλεως, ὅτε ἐν αὐτῇ προεχειρίσθην ἐπίσκοπος, περὶ τὰ ὀγδοήκοντα κεντηνάρια χρυ-

---

1. μελήσασ C. μηδὲν οὖν μελλ. εὐθέωσ οὖν A. 3. πρὸσ τὴν ἐπ. βασιλείαν C. 4. πορεύεσθαι με AC. 5. τὴν fehlt in C. 6. τῇ αὐτῇ τῇ ὥρα φανεὶσ C. τὴν ἑαυτὴν τῇ ὥρα τῇ φανεῖσαν A. 8. ἠδυνήθην AC. ἠδύνατο, ἀλλὰ BE. 9. οὖν] ὢν A. fehlt in BE. τῶν τιμίων καὶ ὁσίων B. τῶν τ. καὶ ἁγίων E. εὐχ. ἐμπλησθεὶσ BE. 11. πρὸσ κύπρον C. παρεσκευάσατο C.

12. ΝΓB. ΜΕC. ἰδίαν C. 13. τάχειστα E. 14. αὐτῶ lässt C weg. 16. τὸ τίμιον καὶ ἱερὸν BE. 20. με A. τελευτ. fehlt in A. ὅθεν — τριμ. fehlt bei An. 20. u. 22. τριμήσιον C. τριμίσσιον E. εὗρῶντόσ μου γὰρ C. εὗρον γὰρ μου A. 24. μεγαλ. Ἀλεξ. E. ἐν ταύτῃ A. προεχειρίσθη AC.

σίου, καὶ εἰσοδιάσαντός μου ἐκ τῶν φιλοχρίστων ἀνθρώπων ὅσα σχεδὸν ἀνθρώπου ἀριθμὸν ὑπερβαίνουσιν, εἰς ἑαυτὸν τὸν νοῦν ἐπισυναγαγὼν καὶ γνοὺς ταῦτα πάντα τοῦ δεσπότου πάντων εἶναι, σπουδὴν ἐποιησάμην τὰ τοῦ θεοῦ τῷ θεῷ δοῦναι, ὅθεν καὶ τὸ ὑπολειφθέν μοι τοῦτο τριμίσιον, καὶ αὐτὸ ὂν τοῦ θεοῦ, καὶ αὐτὸ κελεύω δοθῆναι τοῖς τοῦ θεοῦ.'

Ὢ τῶν παραδόξων πραγμάτων, ὡ τῆς εὐγνωμοσύνης τοῦ ὁσίου, οὐ προσέσχεν τοῖς οὐκ ἰδίοις ὡς ἰδίοις, ὅπερ πάσχουσιν πολλοὶ τῶν ἐν εὐπορίᾳ ὑπαρχόντων, τὰς τοῦ θεοῦ δωρεὰς ἢ καὶ ἐξ ἀδικίας συναχθέντα ὡς ἴδια καὶ μετ' 311r αὐτῶν συναπερχόμενα θησαυρίζοντες, καὶ μὴ δαψιλῶς τοῖς δεομένοις παρέχοντες· ἀλλ' ἐκεῖνα ἐζήτει τὰ ἀεὶ μένοντα καὶ μηδέποτε δαπανώμενα, ὅθεν καὶ τῶν ἀψευδῶν ἐπαγγελιῶν οὐκ ἀπέτυχεν τῶν φασκουσῶν ἐκ προσώπου τοῦ θεοῦ, ὅτι 'τοὺς δοξάζοντάς με δοξάσω.' ὄντως γὰρ μεγάλως ἐδόξασεν τὸν ὅσιον τοῦτον ὁ ἐν τοῖς αὐτοῦ κατορθώμασιν εἰς ἀεὶ δοξαζόμενος κύριος. οὐ φέρων γὰρ ὁ ἀοίδιμος οὗτος τῇ ἑαυτοῦ προσκαίρῳ ζωῇ συμπαυθῆναι τὰ ὅσια καὶ ἀξιέπαινα κατορθώματα, τί διεπράξατο; ξενοδοχεῖα, γηροκομεῖα καὶ μοναστήρια ἐκ θεμελίων κτίσας καὶ χοροὺς ὁσίων μοναχῶν συστησάμενος, ἀκατάπαυστον ὄντως δικαιοσύνης μνήμην κέκτηται διὰ τῶν ἐπιτελουμένων ἐν αὐτοῖς ἀγαθουργημάτων. ὅπερ γὰρ περὶ τῶν κακὰ διαπραττόντων καὶ διαδόχους τῶν ἰδίων κακῶν μετὰ θάνατον ἐν τούτῳ τῷ βίῳ καταλιμπα-

2. ἀριθμὸν ἄνου CE. ἄνων ἀρ. B. ἑαυτὸν δὲ EB. 3. τὸν νοῦν] οὖν A. ἐπεισυναγαγὼν C. πάντα ταῦτα A. 5. τριμήσιον C. τριμίσσιον E. τριμίσην A. τριμ. τῶ θῶ καὶ αὐτὸ δοθῆναι κελεύω C. τριμίσιον τοῦ θῦ κελεύω καὶ αὐτὸ δοθῆναι τοῖσ τοῦ θῦ. BE. 8. ὦ A hier und nachher. 9. ὁσίου ὢ τῆσ ἀγαθότητοσ καὶ εὐσπλαγχνίασ BE. οὐ fehlt in A. προσέτυχεν C. ὡς ἰδίοισ fehlt in A. 14. δαπανούμενα AC. 16. I. Reg. II 30. ΝΔ B. ὄντωσ γὰρ ὄντωσ μεγάλωσ BE. 17. εἰσ lässt C weg. 18. τῆσ ἑ. προσκαίρου ζωῆσ C. 19. συμπαθῆναι C. 20. τί fehlt in C. δὲ ἐπράξατο A. προκομία statt γηροκομεῖα C. 21. κτήσασθαι A. 22. κεκτήμεθα C. 23. ἐπιτελουμένοισ αὐτοῖσ A. 24. κακῶν A. τῶν ἑαυτῶν ἀτοπημάτων BE. 25. τῶδε BE.

νόντων φησὶν ὁ θεῖος ἀπόστολος Παῦλος, ὅτι Τινῶν αἱ ἁμαρτίαι πρόδηλοί εἰσιν, προάγουσαι εἰς κρίσιν, τισὶν δὲ καὶ ἐπακολουθοῦσιν', τοῦτο ἐκ τοῦ ἐναντίου ἐπὶ τούτου τοῦ μακαρίου ἔστιν εἰπεῖν, ὅτι τινῶν αἱ δικαιοσύναι πρόδηλοί εἰσιν, προάγουσαι εἰς βασιλείαν οὐρανῶν, τισὶν δὲ καὶ ἐπακολουθοῦσιν, ἐξ ὧν εἷς καὶ οὗτος καθέστηκεν. Καὶ ὅτι οὐ μῦθος οὔτε πρὸς χάριν ἐστὶν τὸ εἰρημένον, μαρτυρήσῃ δ' ἂν ἡμῖν εὖ μάλα σαφῶς καὶ τὸ παρ' αὐτὰ τῆς τιμίας αὐτοῦ κοιμήσεως ἐπιτελεσθὲν τεράστιον. ἀποδόντος γὰρ 10 *αὐτοῦ καὶ παραθεμένου τὴν οἰκείαν ψυχὴν ἐν χειρὶ κυρίου — ὥς φησιν τὸ ἱερὸν γράμμα· Δικαίων ψυχαὶ ἐν χειρὶ κυρίου' — καὶ ταύτην αὐτῷ ὡς θυσίαν ἄμωμον παραθεμένου, μέλλοντος τοῦ τιμίου αὐτοῦ σώματος τιμίως καὶ μετὰ τῆς προσηκούσης ἱεροπρεποῦς τελετῆς ἔν τινι εὐκτηρίῳ* 15 *οἴκῳ τοῦ ἁγίου θαυματούργου Τύχωνος κατατίθεσθαι, γίνεταί τι τοιοῦτον παράδοξον σημεῖον. κατέκειτο ἔν τινι σορῷ, ἔνθα καὶ ὁ δίκαιος κατατίθεσθαι ἔμελλεν, δύο τινῶν ἐπι-*311v *σκόπων προκοιμηθέντων ὁσίων ὅσια ἀληθῶς σώματα, ἅπερ ἐν ἀψύχῳ που τέως διάγοντα φύσει τῶν ἐμψύχων ὄντως ἴσην* 20 *τῷ ὁσίῳ τιμὴν προσαπένειμαν. ὡς γὰρ τὸ σῶμα τοῦ μακαριωτάτου πάπα τῶν δύο ἐκείνων σύνθετον ἔμελλεν γενέσθαι,*

1. ὁ ἱερώτατος BE. ἀπ. fehlt in BE. I. Tim. V 24. 2. πρόδηλαι A. προάγουσιν A. 3. τούτοις C. τοῦ ναντίου A. τούτου] δὲ C. 4. μάκαρος E. τοῦ μακαρίου τοῦτο (= τούτου) A. οὕτινων C. πρόδηλαι A. 5. προάγουσιν A. εἰς τὴν βασ. τῶν οὐνῶν A. τὴν σὴν (für τισὶν) A. 6. ἐξ ὧν καὶ εἷς τούτων καθ. A. 7. ὁ statt οὐ C. μισθὸς C. τῶν εἰρημένων C. μαρτυρήσει CAE. 9. ἐπιτελέσθαι A. 10. propriam An. ἰδίαν C. ἁγίαν A. 11. ὥς — κυρίου fehlt in BE. Weish. Sal. III 1. 12. ἄμωμον οἷα ἱεράρχης ἀληθῶς ὢν προσενηνοχὼς μέλλοντος κτλ. BE. παραθεμένω A. 13. καὶ ἁγίου BE. 14. προσηκ. αὐτῷ τιμῆς ἱερ. A. τελετῆς] τελευτῆς CE. In A ist das Wort weggelassen. 15. θαυματούργου fehlt in A. 16. $\overline{\text{NE}}$ B. κατέκειντο E. 18. ἀληθῶς καὶ τίμια BE. 19. φ. τῷ ὄντι ὡς ἔμψυχα ἐγένοντο τῷ ὁσίῳ τιμὴν τοῦτον προσαπονέμοντες C. εἶσιν (= ἴσην) A. 20. προσαπένειμον A. προσένειμαν E. τὸ τίμιον σ. BE. τοῦ μακαριωτάτου: am Rand in E von derselben Hand $\overset{\pi}{\text{πα}}$ zugefügt. 21. τῶν τῶν in E; aber das erste τῶν ist nachträglich getilgt worden. μέσον τῶν δ' ἐκ. ἔμελλεν τίθεσθαι C. γενέσθαι ἤμελλεν E.

τιμήσαντες τὸν ἀρχιποιμένα οἱ ποιμένες καὶ τὴν πολλὴν αὐτοῦ αἰδεσθέντες παρρησίαν πρὸς θεὸν ἅμα καὶ θαυμάσαντες, ἑαυτῶν τὰ σώματα, μᾶλλον δὲ τῇ τοῦ θεοῦ κελεύσει, ὥσπερ ζῶντές τινες, ὑποχωρήσαντες μέσον τὸν ἱερὸν τοῦτον συνελάμβανον, τιμὴν καὶ αὐτοὶ προστάξει θεοῦ, ὥσπερ θεοτιμήτῳ, αὐτῷ προσκομίζοντες, καὶ πᾶσιν εὐθὺς ἐμφανίζοντες τὴν ἐκεῖθεν αὐτῷ παρὰ θεοῦ δωρηθεῖσαν δόξαν τε καὶ ὑπερύψωσιν. ὅπερ μέγιστον καὶ παραδοξότατον θαῦμα οὐχ εἷς οὐδὲ δέκα οὐδὲ ἑκατὸν ἐθεάσαντο, ἀλλὰ πᾶς ὁ παραγενόμενος ἐπὶ τὴν ἔντιμον αὐτοῦ κηδείαν ὄχλος.

Cap. XLVI. Ἕτερον δὲ αὐτοῦ παραδοξότερον, ὅπερ ἔτι μὲν ζῶν ἐν σαρκὶ ἐνήρξατο θαῦμα, μετατεθεὶς δὲ πρὸς κύριον ἐτέλεσεν, ὁ λόγος φράσαι πειράσεται. γυνή τις ἐκ τῆς ἐνεγκαμένης τὸν ἅγιον πόλεως ὑπάρχουσα, ὡς ἤκουσεν αὐτὸν παραγενόμενον ἐκ τῆς Ῥόδου καὶ ἄγγελον αὐτῷ ἐκεῖσε φανέντα καὶ τὴν κλῆσιν τὴν πρὸς τὸν κοινὸν δεσπότην μηνύσαντα, ἁμάρτημα βαρύτατον ἑαυτῇ συγγινώσκουσα, ὅπερ οὐδὲ εἰς ἀκοὰς ἀνθρώπων δυνατὸν εἰσελθεῖν διισχυρίζετο, πίστιν ἀδίστακτον ἀναλαβοῦσα πρὸς τὸν ὅσιον δρομαίως καταλαμβάνει καὶ τῶν ποδῶν αὐτοῦ ἐπιλαβομένη μετὰ πολλῶν δακρύων ἐβόα λέγουσα κατ' ἰδίαν τῷ ἁγίῳ· Ἁμάρτημα, ὦ τρισμακάριε ἔχω ἡ ἀθλία εἰς ὅτα ἀνθρώπων ἐλθεῖν μὴ δυνάμενον, καὶ οἶδα, ὅτι, ἐὰν θέλῃς, δύνασαί μοι αὐτὸ

---

1. οἱ προποιμένεσ C. fehlt in A. τὴν fehlt in A. 2. πρὸσ θν̄ παρρ. αἰδ. CE. παρρησ. πρ. θν̄ αἰδ. B. 3. αὐτῶν C. 4. τινες] ἀλλήλων C. ἀποχωρ. C. ἀποχωρ. ἑαυτοὺσ BE. τοῦτον ἄνδρα BE. 5. συνέλαβον C. τῇ πρ. C. ὥσπ. θεοτίμητον καὶ αὐτοὶ τῶ θῶ προσκ. C. 6. προσκομίζονται A. 7. θῶ ABE. δοθεῖσαν C. 9. ἅπασ A. 10. κηδ. αὐτοῦ C.

11. Μ̄Ϛ C. Ν̄Ϛ B. παράδοξον A. Nach παραδοξότερον fährt C fort: διηγήσομαι θαῦμα. 14. ὅσιον BE. 15. καὶ lässt A weg. αὐτὸν C. 17. ἑαυτὴν A. ἐναυτὴ E. 18. εἰσελθῆναι C. 19. ἀδιάστακτον A. ὀρθὴν ἀδ. E. δρομαῖοσ E. 20. καταλαμβάνειν E. καὶ — ἐπιλαβομένη fehlt in A. ἐπιλαβομένην E. 21. βοῶσα καὶ A. τῶ ἁγίω κατ' ἰδίαν E. 22. ὦ τρισμακάριε δοῦλε τοῦ ὄντωσ ἀληθινοῦ χῦ τοῦ θῦ ἡμῶν ἁμάρτημα ἔχω μέγιστον πάνυ ἡ ἀθλία ἐγὼ καὶ ταλαίπωροσ εἰσ ὦτα κτλ. BE. 23. ὅτι fehlt in A.

συγχωρῆσαι· εἶπεν γὰρ περὶ τῶν καθ' ὑμᾶς ὁ κύριος, ὅτι 'Ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς, καὶ ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς, καὶ ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται'. τούτων τῶν ῥημάτων ἐπακούσας παρὰ τῆς γυναικὸς ὁ ὅσιος, καὶ φοβηθείς, 312r μήπως, ἐὰν τὴν αἴτησιν αὐτῆς παραιτήσηται, αἴτιος αὐτῇ αἰωνίου κολάσεως γένηται, δυναμένης αὐτῆς ἀπαλλαγῆναι τῆς οἰκείας ἁμαρτίας ἐκ τῆς πίστεως ἧς εἶχεν πρὸς αὐτὸν, λέγει πρὸς αὐτὴν ἐν ταπεινῷ σχήματι· 'Εἰ ἄρα πιστεύεις, ὦ γύναι, τῷ Θεῷ, ὅτι διὰ τῆς ταλαιπωρίας μου συγχωρῇ σοι τὸ ἔγκλημα, ὃ λέγεις, ἐξομολόγησαί μοι αὐτό.' ἡ δὲ εἶπεν· 'Οὐ δύναμαι, δέσποτα, εἰπεῖν αὐτό. οὐ γὰρ δύναται ἀκοὴ ἀνθρώπου βαστάσαι αὐτό.' λέγει οὖν πάλιν πρὸς αὐτὴν ὁ ὅσιος· 'Καὶ ἐὰν ἐρυθριᾷς, ἄπελθε καὶ γράψον αὐτὸ, ἐὰν γινώσκῃς γράμματα, καὶ φέρε μοι.' ἡ δὲ πάλιν ἀπεκρίνατο πρὸς αὐτόν· 'Οὔτως, δέσποτα, οὐ δύναμαι.' μείνας οὖν ὁ ὅσιος μικρόν τι σιωπῶν, εἶπεν αὐτῇ· 'Οὐ δύνασαι γράψαι καὶ βουλλῶσαι καὶ ἐνέγκαι μοι;' τότε εἶπεν αὐτῷ· 'Ναὶ, δέσποτα, τοῦτο ποιῶ, παρακαλοῦσα τὴν τιμίαν καὶ ἰσάγγελόν σου ψυχὴν μὴ λυθῆναι μηδόλως εὑρεθῆναι ὑπό

---

1. ἡμᾶσ C. 2. Matth. XVIII 18. ὅσα ἐὰν C. λύσηται A. 3. ὅσα ἐὰν C. δήσηται A. ἐπὶ — γῆσ fehlt in BCE. λελοιμένα (statt δεδεμένα) A. 4. τῶ οὐνῶ C. Nach οὐνοῖσ hat A: καὶ ἂν τινῶν κρατεῖτε τὰσ ἁμαρτίασ, κρατίεντε αὐτοῖσ καὶ ἂν τινῶν ἀφίετε κτλ. Johann. XX 23. ἀφείενται C. 7. μήπωσ fehlt in C. αὐτῆσ C. 8. γίνεται C. 9. οἰκίασ A. ἔχει CBE. 10. αὐτῇ statt πρ. αὐ. A. εἰ lässt C weg. 11. ὦ γύναι fehlt in C. ταλαιπώρου μου εὐχῆσ C. συγχωρίσοι A. συγχωρεῖ σοι BE. συγχωρήσει σοι κσ; ναὶ δέσποτα πιστεύω. καὶ δεήθητι τῶ Θῶ ἐπὶ τοῦτο ὅσησ καὶ δυνάμεωσ ἔχεισ καὶ εἰπὲ τί τὸ ἔγκλημά σου C. 13. ὄντωσ οὐ BE. δύναμαί σοι BE. αὐτῶ A. οὐδὲ BE. Nach ἔγκλημα σου fährt C fort: καὶ λέγει τῷ ἁγίω ἡ γυνὴ. ἀκοὴ τοῦτο δέσποτα παραδέξασθαι οὐ δύναται. λέγει οὖν πρὸσ αὐτὴν πάλιν κτλ. 14. αὐτῶ A. 15. γράψε A. 16. ἐὰν γιγνώσκεισ γράμματα A. οἰκεῖα σου γράμματα C. μοι αὐτό B. 17. δύν. τοῦτο ποιῆσαι BE. 18. μικρὸν τίποτε σιωπήσασ ὁ ἅγιοσ εἶπεν αὐτῇ C. τι fehlt in BE. 19. βουλῶσαι ACE. τότε] καὶ E. 21. εἰσάγγελον A. ἁγίαν C. σου ψυχὴν B. λυθ. τοῦτο C. μηδὲ ὅμωσ CE.

τινος τὸ πιττάκιόν ποτε.' λόγον οὖν λαβοῦσα ὑπὸ τοῦ θεοτιμήτου τοῦ μηδένα ἄνθρωπον λύειν καὶ ἀναγινώσκειν τὸ αὐτῆς πιττάκιον, ἔγραψεν ἰδιοχείρως τὸ ἁμάρτημα καὶ βουλλώσασα ἤγαγεν τῷ μακαρίῳ. δεξάμενος οὖν ὁ ὅσιος τὸ πιττάκιον, μετὰ πέντε ἡμέρας πρὸς κύριον τὴν ἐκδημίαν ἐποιήσατο, μηδενὶ μηδὲν τὸ παράπαν περὶ τοῦ τοιούτου πιττακίου διαθέμενος ἢ μηνύσας. τῆς οὖν γυναικὸς ἐκ τοῦ συμβεβηκότος, μᾶλλον δὲ ἐξ οἰκονομίας θεοῦ μὴ ὑπαρχούσης ἐν τῇ πόλει τῇ ἡμέρᾳ, ἐν ᾗ μετετέθη ἐν εἰρήνῃ ἐκ τοῦ παρόντος βίου πρὸς τὴν ἐκεῖθεν ὁ πατριάρχης, βουλομένου καὶ ἐν τούτῳ δεῖξαι τοῦ θεοῦ, ὅσην πρὸς αὐτὸν, ὡς γνήσιος θεράπων, παρρησίαν ἐκτήσατο· ἀλλὰ μετὰ μίαν ἡμέραν παραγενομένης αὐτῆς τῆς καταθέσεως τοῦ τιμίου αὐτοῦ λειψάνου, ὡς ἤκουσεν τὴν κοίμησιν αὐτοῦ, ἔκνους καὶ παράφρων σχεδὸν εὐθέως ἐγένετο, νομίσασα τὸ ὑπ' αὐτῆς ἐπιδοθὲν πιττάκιον ἐν τῷ ἐπισκοπείῳ καταλειφθὲν πᾶσιν ποιῆσαι τὸ ἑαυτῆς πταῖσμα κατάδηλον. δρομαίως οὖν ἀναπηδήσασα καὶ τὴν πρότερον αὐτῆς ἀδίστακτον πίστιν ἐπὶ τῆς ψυχῆς ἀναλαβοῦσα, τὴν σορὸν τοῦ θεοτιμήτου κατέλαβεν, καὶ ὥσ|περ 312v ζῶντι αὐτῷ ἀληθῶς οὕτως ἀποδυσπετοῦσα διελέγετο· Ἄνθρωπε τοῦ θεοῦ, σοὶ αὐτῷ οὐκ ἠδυνήθην τὸ ἐμαυτῆς ἁμάρ-

---

2. τοῦ fehlt in A. 3. πιττ. αὐ. B. τὸ τοιοῦτον πιττ. αὐ. πορευθεῖσα ἔγρ. E. ἰδιαχειρὶ BE. βουλώσασα AE 5. τὴν fehlt in A. 7. μηνύσας] μηνοίσασ A. ποιήσασ E. 10. τὴν] τὸν A. βουλ. τοῦτο δεῖξαι A. 11. ὡσ ἦν A. Codex C weicht von dem Worte εὑρεθῆναι an so stark von dem Texte der Handschriften A und B ab, dass ich seine Worte besser hersetze: εὑρεθ. δὲ τὴν ἁμαρτίαν μου ἄγραφον. λόγον οὖν λαβοῦσα ὑπὸ τοῦ θεοτιμήτου μηδ' ἕνα ἄνον λύειν τὸν ταύτησ χάρτην, ἀπελθὼν ἔγραψεν τὸ ταύτησ ἀνόμημα. καὶ βουλώσασα ἤγαγε τῶ μακαρίω. δεξάμενοσ οὖν ὁ ὅσιοσ τὸ τοιοῦτον βεβουλωμένον τῆσ ἀνομίασ ἐπίγραμμα, μεθ' ἡμέρασ τινὰσ ὀλίγασ πρὸσ κῦ ἐξεδήμησεν ἡ δὲ γυνὴ τοῦτο ἀκούσασα, πρὸσ τὸν τοῦ ἁγίου κλαίουσα ἔδραμεν λάρνακα, τοιάδε πρὸσ τὸν ἅγιον ἀφιοῦσα φωνάσ; τί τοῦτο ἅγιε τοῦ θῦ τί καθυπερβολὴν τὴν σὴν δούλην ἐλύπησασ; τί δυνάμενοσ ἀπαλλάξαι μου τὸ ἀνόμημα κενὴν οὕτωσ καὶ λυπουμένην κατέλιπεσ; εἶθε κτλ. 14. ἔννουσ A. 15. ἐγ. εὐθέωσ BE. ἐπιδοθέντα A. 17. αὐτῆσ BE. δρομαῖοσ B. 18. πίστιν] γνώμην A. 20. ἔλεγεν A. 21. ἑαυτῆσ A.

τημα διηγήσασθαι διὰ τὸ καθ' ὑπερβολὴν ὑπάρχειν βαρύτατον· καὶ ἰδοὺ νῦν πᾶσιν ἐγένετο τάχα κατάδηλον καὶ γνώριμον. εἶθε μὴ σοὶ τὸ ἐμὸν πρᾶγμα ἐφανέρωσα. οἴμοι· δοκοῦσα τῆς αἰσχύνης ἀπαλλαγὴν εὕρασθαι, αἰσχύνη πᾶσιν γεγένημαι. ἀντὶ ἰατρείας βλασφημίαν ἐκομισάμην. τί μοι πρός σε χρεία τὸ μυστήριον τῆς ψυχῆς μου φανερῶσαι; ὅμως οὐ μὴ ἀποκάμω οὐδ' οὐ μὴ ἀπιστήσω οὐδὲ ἀποστήσωμαι ἐκ τῆς σῆς σοροῦ τὰ ἐμὰ δάκρυα, ἄχρις οὗν πληροφορίαν περὶ τῆς ἐμῆς αἰτήσεως δέξωμαι. οὐ γὰρ ἀπέθανες, ὅσιε, ἀλλὰ ζῇς. γέγραπται γὰρ, ὅτι 'Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσιν.' πάλιν τε τοὺς αὐτοὺς λόγους ἐξαναλαμβανομένη ἔλεγεν· 'Οὐδὲν ὦ ἄνθρωπε τοῦ θεοῦ αἰτῶ σε, εἰ μὴ πληροφόρησαί μου τὴν καρδίαν. τί ἄρα κἂν τὸ ἐπιδοθέν σοι πιττάκιον γέγονεν;'

'Ο θεὸς οὖν ὁ εἰπών ποτε πρὸς τὴν Χαναναίαν· ''Η πίστις σου σέσωκέν σε', αὐτὸς καὶ ταύτην ἐπληροφόρησεν. τρεῖς γὰρ ἡμέρας προσκαρτερήσασα ἐν τῷ μνήματι τοῦ ὁσίου καὶ μηδὲ ὅλως βρώσεως ἢ πόσεως γευσαμένη, τῇ τρίτῃ νυκτὶ, ἐν ὅσῳ πάλιν τοὺς αὐτοὺς σκληροὺς καὶ πιστοὺς λόγους τῷ μακαριωτάτῳ ἔλεγεν μετὰ δακρύων, ἰδοὺ ἐξέρχεται ὁ τοῦ

---

2. τάχα fehlt in BE. 3. πρᾶγμα] ἀνόμημα C. 4. ἀπαλλαγῆναι C. αἰσχύνη μᾶλλον ἐγὼ γέγονα πάντων C. 5. ἰατρίασ AB. ἀντὶ — ἐκομ. fehlt in C. ἐνομισάμην A. 6. πρὸσ χρία A. χρ. ὑπῆρχε BE. τῆσ ἐμῆσ ψυχῆσ τὸ μν. C. αἰσχύνησ statt ψυχῆσ A. 7. ἀπιστίσω A. οὐδὲ ἀποστήσομαι fehlt in A. ἀποστήμαι E. 8. σωροῦ AE. σοροῦ ταύτησ BE. τὰ ἐμὰ lassen BE und An. weg. δ. ζαίνουσα BE. ἄχρισ οὖν A. ἄχρισ οὗ BE. 9. δέξομαι E. φανερῶσαι· ὅμωσ οὐ μὴ τῆσ σῆσ λάρνακοσ ἀποστῶ πε͞ῳ, ἀνένδοτα χαίουσα δάκρυα καὶ καταβοωμένη σου, ἕωσ οὗ τὸ ἐμὸν ἴδιον πληρούμενον καταθύμιον. οὐ γὰρ κτλ. C. 10. πε͞ῳ ἅγιε C. ὅτι fehlt in A. 11. Weish. Sal. V 16. δὲ C. πάλιν — ἔλεγεν fehlt in BE. 12. ἔλεγεν. τοῦτο καὶ μόνον ἅγιε αἰτῶ τοῦ θῦ. πληροφόρησαι κτλ. C. οὐδὲν οὖν E. εἰ μὴ lässt A weg. πληροφόρησον A. 14. γέγονε γράμμα C. 15. ὁ δὲ εὔσπλαγχνοσ καὶ φίλα͞νοσ θ͞σ ὁ εἰπὼν BE. ὁ δὲ θ͞σ ὁ ποτὲ τὴν χαναναίαν εἰπὼν C. Matth. XV 28. 16. οὕτοσ BE. πληροφορῆσαι εὐδόκησεν C. 17. ἐν lässt E weg. ἐν τῶ τοῦ ἁγίου λάρνακι C. 18. μηδόλωσ ἢ C. γευσαμένησ C. 19. ὅσον A. νυκτὶ τοὺσ αὐτοὺσ ὀδυνηροὺσ τῶ μακαρίω ἔλεγε λόγουσ ἰδοὺ κτλ. C. αὐτῆς B. 20. μετὰ δ. ἔλεγεν BE. ἑαυτοῦ CBE.

θεοῦ θεράπων ἐκ τῆς αὐτοῦ θήκης ὀφθαλμοφανῶς μετὰ τῶν δύο ἐπισκόπων τῶν συγκειμένων αὐτῷ, ἑνὸς ἔνθεν καὶ ἑνὸς ἔνθεν αὐτοῦ ἱσταμένων, καὶ λέγει πρὸς αὐτήν· Μέχρις πότε, γύναι, τοὺς ἐνταῦθα σιαίνεις καὶ οὐκ ἐᾷς αὐτοὺς ἀναπαῆναι; κατέβρεξεν γὰρ ἡμῶν τὰς στολὰς τὰ σὰ δάκρυα.' καὶ ταῦτα εἰπὼν δίδωσιν αὐτῇ τὸ ἴδιον πιττάκιον βεβουλλωμένον, λέγων πρὸς αὐτήν· Δέξαι, γνωρίζεις τοῦτο; λῦσον καὶ βλέπε.' καὶ εἰς ἑαυτὴν ἐκ τῆς ὀπτασίας ἐλθοῦσα, εἶδεν πάλιν τοὺς ἁγίους εἰσελθόντας εἰς τὸν ἴδιον τόπον καὶ ἑαυτὴν ἔχουσαν τὸ πιττάκιον. ἐπισκέπτει οὖν καὶ εἶδεν τὴν βούλλαν ἑαυτῆς σῴαν καὶ πεφυλαγμένην, καὶ λύσασα τὰ ἑαυτῆς γράμματα εὑρίσκει ἀπαλειφθέντα καὶ ὑ|πογραφὴν 313r ὑποκάτω αὐτῶν ἔχουσαν οὕτως· Διὰ Ἰωάννην τὸν δοῦλόν μου ἐξήλειπταί σου ἡ ἁμαρτία.' τίς λαλήσει τὰς δυναστείας κυρίου, ὦ φίλοι καὶ ἀδελφοί; τίς οὕτως εὔσπλαγχνος καὶ φιλάνθρωπος, ποιῶν τὸ θέλημα τῶν φοβουμένων αὐτὸν καὶ δοξάζων τοὺς δοξάζοντας αὐτὸν καὶ διὰ θαυματουργιῶν μεγαλύνων αὐτούς;

